# AKROPOLIS WORLD NEWS

**www.akwn.net**

J. Coderch

**Sixth Year**

**(November 2007 - June 2008)**

A couple of months after having arrived at St Andrews I decided to reactivate AKWN. For some reason, the practice of adding grammatical notes was abandoned, but the practice of writing a title in Greek for each piece of news was reintroduced.

## Lost novel by Alexander Dumas found / Italian Blue Helmets take control in Lebanon / Bhutto released from house arrest

(10-11-07)

**Ἄγνωτον βίβλον ὑπὸ τοῦ Ἀλεξάνδρου Δοῦμας γραφεῖσαν ηὑρήκασιν**

Ὁ ἐκδοτικὸς οἰκὸς Ναβόνα, ἐν τῇ Βαρκελόνῃ κείμενος, ἄγνωστον τῆς Α. Δοῦμας βίβλον περὶ τῶν Μέδιζι ηὕρηκεν· αὕτη δὲ ἡ βίβλος μέρος ἐστὶ τῶν "εὐδόξων φονῶν" καλουμένων καὶ τήν τε ἐν τῇ Φλωρεντίᾳ δίαιταν καὶ τὰς φονὰς ἀπεικάζει.

πρῶτος οἰκιστὴς τούτου τοῦ γένους Ἰωάννης Μέδιζι ἦν, πρόγονος δὲ ἦν ἀνδρῶν εὐδόξων οἷον τοῦ Λαυρεντίου τοῦ Μεγαλείου. τοῦτο δὲ τὸ γένος, καίπερ ἀεὶ τῆς ἀρχῆς ἐφιέν, τάς τε τέχνας ἐδίωκε καὶ πολλούς τε τεχνίτας καὶ συγγραφέας ὠφέλησεν, ταύτην δὲ τὴν πρᾶξιν οἱ γονεῖς τοῖς ἀπογόνοις παρέδοσαν.

**Οἱ Ἰταλιανικοὶ "θαλάσσιοι κόρυθες" τὴν τοῦ Λιβάνου ἀρχὴν νῦν ἔχουσιν**

Τῶν Γαλατῶν θαλασσίων κορύθων τοῦ Λιβάνου ἐννέα καὶ εἴκοσι ἔτη ἀρξαμένων, ὁ Ἡνωμένων Ἐθνῶν Ὀργανισμὸς τὴν ἐν ταύτῃ τῇ χώρᾳ ἀρχὴν τήμερον τοῖς Ἰταλιανικοῖς στρατιώταις παρέδωκεν, οἱ δέ, τὴν ἀρχὴν παρὰ τῶν Γάλλων δεξάμενοι, τούτους ἐπῄνεσαν ἅτε βέλτιστα τοῦτον τὸν μακρὸν χρόνον πεπραγότας.

**Τὴν Βεναζῖρ Βοῦττω ἐκ τῆς ἑαυτῆς οἰκίας λελύκασιν**

Τοῖς τοῦ Πακιστάνος ἀρχοῦσιν ἔδοξε τὴν Β. Βοῦττω λῦσαι, τῆς Λευκῆς Οἰκίας τὴν λύσιν αἰτησούσης· οἱ ἄρχοντες τὴν πρὶν πρόεδρον ἐν τῇ ἑαυτῆς οἰκίᾳ βίᾳ κατεῖχον, ἐκώλυον γὰρ αὐτὴν ἰέναι πρὸς διαδήλωσίν τινα ἐπὶ τὸν νῦν πρόεδρον Μουσιαρᾶφ· ὅμως δὲ διαβεβαιοῦται ὁ νῦν πρόεδρος ὅτι, τὴν τῆς στρατιᾶς ἀρχὴν καταλιπών, τοῦ ἐπιγιγνομένου Φεβρουαρίου μηνὸς ἀρχαιρεσίας ποιήσει.

## Merkel and Sarkozy make agreement against illegal immigrants / Will Belgium survive? / Ship disaster

(13-11-07)

**Ἥ τε Μέρκηλ καὶ ὁ Σαρκοζὺ συμμαχίαν ἐπὶ τοὺς παρανόμους ξένους ποιοῦνται**

Τῇ Γερμανικῇ προέδρῳ Ἀγγέλῃ Μέρκηλ καὶ τῷ Γαλλικῷ προέδρῳ Νικολάῳ Σαρκοζὺ ἔδοξε ἅμα καὶ κοινῇ ἐπὶ τοὺς παρανόμους ξένους μάχεσθαι. κατὰ δὲ τοὺς δύο ἄρχοντας δεῖ οὐ μόνον ἐπὶ τοῦτο μάχεσθαι ἀλλὰ καὶ ἐπιμελεῖσθαι ὅπως οἱ ξένοι οἱ ἤδη ἐν τῇ τε Γαλλίᾳ καὶ τῇ Γερμανίᾳ οἰκοῦντες Εὐρωπαιοὶ πολῖται γενήσονται.

οἵ τε δύο ἄρχοντες καὶ οἱ ἄλλοι Γάλλοι καὶ Γερμανικοὶ ὑπουργοὶ σύνοδον ἐποιήσαντο χθὲς ἐν τῷ Βερλίν· τὴν δὲ σύνοδον ποιησάμενοι διδασκαλείῳ τινὶ προσῆλθον οὗ πολλοὶ ξένοι καθ᾽ ἡμέραν φοιτῶσιν, εἶπον γὰρ ὅτι δεῖ ἐν τῷ ὄντι πάντα ὁρᾶν καὶ ἐπισκοπεῖν. ἐν δὲ τῇ αὐτῇ συνόδῳ εἶπε ὁ Σαρκοζὺ ὅτι, καὶ εἰ αἱ δύο χῶραι πολλὰ ἔτη ἀλλήλας ἐμίσουν, χρὴ τὴν νῦν φιλίαν κρατύνειν τε καὶ βεβαιοῦν.

**Ἆρα περίεσται ἡ Βελγία;**

Εἰ ἡ Βελγία ἐξαίφνης εἰς δύο μέρη διὰ τὰς ἔνδον διαστάσεις διατμήθειεν, τὸ μὲν ἥμισυ τῶν Νεερλανδικῶν πολιτῶν ἐθελήσαιεν ἂν τὴν Βελγικὴν χώραν κτᾶσθαι ἐν ᾗ τῇ Φλεμιγῇ γλώττῃ οἱ πολῖται χρῶνται, τὸ δὲ ἥμισυ τῶν Γαλατῶν πολιτῶν τὴν χώραν ἂν ἐν ᾗ τῇ Γαλλικῇ γλώττῃ χρῶνται οἱ Βέλγαι· ἐν μὲν τῇ Βελγίᾳ συνοικοῦσιν ἓξ ἑκατομμυρία Φλεμιγῶν καὶ τέτταρα καὶ ἥμισυ ἑκατομμυρία Γαλλικοφώνων, αἱ δὲ ἅμιλλαι συχναί εἰσιν.

**Συμφορὰ ἐν τῇ θαλάττῃ**

Πέντε Ῥοσσικαὶ νῆες ἐναυάγησαν χθὲς ἐν τῇ Μελαίνῃ Θαλάττῃ διὰ μεγίστην θύελλαν· οἵ τε τῆς Οὐκρανίης καὶ τῆς Ῥοσσίας ἄρχοντες τοὺς ναῦτας ἐκσῴζειν πειρῶνται. μία μὲν τῶν νεῶν πετρέλαιον ἔφερεν, αἱ δὲ ἄλλαι θεῖον ἐν τῇ ἀποθήκῃ εἶχον, πάντες δὲ ἴσασιν ταῦτα ἐπικίνδυνώτατα ὄντα. αὕτη ἡ θύελλα καὶ ὁ νότος ὑψελώτατα κύματα ἤνεγκον καὶ τὰς ναῦς,

καίπερ πρὸς τὸν λιμένα ἐπαναπλεῖν πειρωμένας, κατέδυσαν. οὐκέτι ἴσασιν ὅποσοι ναῦται ἀπέθανον.

## Chavez wants nuclear energy / Hurricane kills 1,700 in Bangladesh / No international observers in Russian polls

(18-11-07)

**Ὁ Σιάβηθ ἀτομικὸν πρόγραμμα ἀπεργάζεσθαι βούλεται**

Ὁ τῆς Βενεζουέλης πρόεδρος Σιάβηθ τὸ ἀτομικὸν πρόγραμμα ἀπεργάζεσθαι ἐν νῷ ἔχει, ὅμως δὲ διαβεβαιοῦται ὅτι ἀτομικὰ μὲν βέλη ἀπεργάζεσθαι οὐ βούλεται, μόνον δὲ ταύτῃ τῇ δυνάμει εἰρηνικῶς χρῆσθαι, ἀλλὰ καίπερ τοῦ Σιάβηθ τοῦτο εἰπόντος ἄλλοι πρόεδροι ὑποπτεύουσιν, ὁ γὰρ Σιάβηθ τῶν ἐπιγιγνομένων ἡμερῶν πρὸς τὸ Ἰρᾶν εἶσιν ἵνα τῷ ταύτης τῆς χώρας προέδρῳ συντύχῃ, δεῖ δὲ μέμνησθαι ὅτι ὁ τοῦ Ἰρᾶν πρόεδρος οὐ μόνον ἀτομικὰ βέλη ἔχειν βούλεται ἀλλὰ καὶ ἄλλας χώρας καθελεῖν ὑπέσχετο.

λέγουσιν δὲ οἱ ἔμπειροι ὅτι ἡ Βενεζουέλα πλεῖστον πετρέλαιον ἔχει καὶ οὐδεμίας ἄλλας δυνάμεως δεῖται, διὰ δὲ τοῦτο ὑποπτεύουσιν ὅτι τὸ ἀληθὲς τέλος ἀτομικὰ βέλη ἀπεργάζεσθαί ἐστιν.

**Θύελλα ἐν τῷ Βαβγλαδεῖς χιλίους καὶ ἑπτακοσίους ἀποκτείνει**

Μεγίστη θύελλα, Σῖδρ ὀνομαστί, χιλίους καὶ ἑπτακοσίους ἀνθρώπους ἀπέκτονεν, πολλοὶ δὲ νεκροὶ ἐν τῇ παραλίᾳ πεφήνασιν, ἑκατὸν γὰρ νῆες αἳ ἐπελάγιζον ἐπαναπλεῦσαι οὐκ ἐδύναντο καὶ ἐν τῷ πόντῳ διεφθάρησαν. καὶ δὴ καὶ ἐδέησε πλεῖον ἢ τρία ἑκατομμυρία ἀνθρώπων τὰς οἰκίας καταλιπεῖν.

ἡ θύελλα τὸ τῆς θαλάττης ὕψος πέντε μέτρα ηὔξησεν, αἱ δὲ οἰκίαι αἱ παράλιαι κατεκλύσθησαν.

**Οὐδεὶς ἐπιστάτης πάρεσται ταῖς ἐν τῇ Ῥωσσίᾳ ἀρχαιρεσίαις**

Τῇ δευτέρᾳ τοῦ Δεκεμβρίου μηνὸς ἀρχαιρεσίας ποιήσονται οἱ τῆς Ῥωσσίας πολῖται· ἐπειδὰν ἀρχαιρεσίαι γίγνωνται ἐν χώρᾳ τινὶ τῆς Εὐρώπης, ξένοι ἐπιστάται ἐκεῖσε προσέρχονται ἵνα ἐπισκοπῶσι πότερον πάντα κατὰ τους νόμους γίγνεται ἢ οὔκ· ὅμως δὲ ἡ τοῦ Ποῦτιν ἀρχὴ ἐξουσίαν τοῖς ἐπιστάταις οὐκ ἔδωκεν.

## President of Khmers Rouge arrested / Rome finds its origins / Iraqis are returning home

(23-11-07)

### Τὸν τῶν Ἐρύθρων Χεμέρων πρόεδρον συλλαμβάνουσιν

Ὁ πρότερος τῆς Καμβοδίας πρόεδρος, Κιεῦ Σαμφᾶν, τὸ πρότερον τῆς χώρας ἄρξας, συνελέφθη ὑπὸ τῶν φυλάκων ἅτε πλείστους πολίτας ἀποκτείνων, ἄλλοι δὲ τέτταρες αὐτῷ συνάρχοντες καὶ συνελέφθησαν. καὶ εἰ ὁ Σαμφᾶν ἐν νοσοκομείῳ τινὶ ἔκειτο, ὅμως αὐτὸν τὸ νοσοκομεῖον καταλιπόντα αὖθις συνέλαβον.

οἱ Ἔρυθροι Χέμερες τέσσαρα ἔτη τὴν τῆς χώρας ἀρχὴν εἶχον, ἐν δὲ τούτῳ τῷ χρόνῳ δύο ἑκατομμυρία ἀνθρώπων ἀπέθανον ὑπὸ τῶν Χεμέρων, ὁ δὲ Σαμφᾶν ἀεὶ τῷ Πὸλ Πὸτ ἐπίστευε τε καὶ ὑπήκουσεν.

### Ἡ Ῥώμη τὴν ἑαυτῆς γένεσιν ὑπὸ τῆς γῆς εὑρίσκει

Ἀρχαιολόγοι τινὲς τὸ σπήλαιον ηὑρήκασιν ἐν ᾧ κατὰ τὸν μῦθον ἡ λύκος Λούπερκα τόν τε Ῥώμυλον καὶ τὸν Ῥῶμον ἐθήλασεν· πολλὰ ἔτη ζητήσαντες, τὸ σπήλαιον ἐν τῷ Παλατίῳ ὄρει ηὗρον, ἐν τῷ τῆς πόλεως κέντρῳ.

τὸ μὲν τοῦ σπηλαίου ὕψος ἑπτὰ μέτρα ἐστίν, τὸ δὲ εὖρος ἕξ, ἐν δὲ τῷ πρὸ τοῦ τοῦτο τὸ σπήλαιον ἱερὸν ἦν, καὶ δὴ καὶ ὁ Καῖσαρ Αὔγουστος τὸν ἑαυτοῦ οἶκον ἐκεῖ ᾠκοδόμησεν.

### Οἱ Ἰράκιοι οἴκαδε ἐπανέρχονται

Καθ᾽ ἡμέραν χίλιοι Ἰράκιοι πολῖται οἴκαδε ἐπανέρχονται· τούτων μὲν οἱ πλεῖστοι ἐν τῇ Δαμασκῷ ᾤκοντο, τὴν γὰρ ἑαυτῷ χώραν τοῦ ἐπὶ τὸ Ἰρᾶν πολέμου ἕνεκα κατέλιπον, νῦν δὲ νομίζουσι τὰ τοῦ Ἰρᾶκ ἤδη ἀσφαλῆ εἶναι· ὅμως δὲ ἔτι τέτταρα ἑκατομμυρία Ἰρακίων ἀποδημοῦσιν, τούτων δὲ τεττάρων ἑκατομμυρίων δύο μὲν ἐντὸς τοῦ Ἰρᾶκ ἔμειναν, δύο δὲ ἀποικοῦσιν.

ἐν δὲ τῇ Δαμασκῷ τοσοῦτοι Ἰράκιοι οἰκοῦσιν ὥστε οἱ Σύριοι αὐτοὺς ἐξελαύνειν πειρῶσιν, λέγουσι γὰρ ὅτι οὐκ ἔξεστι τοσούτους ξένους δέχεσθαι.

## Kasparov arrested five days / Flight cancelled as crew get drunk / Rebels in Manila surrender

(29-11-07)

**Τοῦ Κασπάροφ πέντε ἡμέρας καταγιγνώσκουσιν**

Οἱ τῆς Μοσκβᾶς δικασταὶ τοῦ ἐνδόξου Γάρρι Κασπάροφ πέντε ἡμέρας ἐν τῷ δεσμωτηρίῳ μένειν κατέγνωσαν ἅτε τῷ προέδρῳ Ποῦτιν ἐνιστάμενον. μυρίων μὲν πολιτῶν ἐν ταῖς ἀγυίαις ἐπὶ τὸν πρόεδρον διαδηλούντων, ὁ δὲ τοὺς φύλακας ἔπεμψεν, οἱ δὲ τοὺς διαδηλοῦντας συνέλαβον, ἐν οἷς ὁ Κασπάροφ παρῆν, ἄρχων γὰρ τῶν ἀναστάντων ἐστίν. ἡ δὲ Μαρίνα Λιτβίνοβιζ, ἣ τῷ Κασπάροφ παρῆν, εἶπε ὅτι οἱ φύλακες αὐτὸν χαμᾶζε καταβαλόντες ἔπληξαν. Λέγεται δὲ ὅτι πρὶν συλλεφθῆναι εἶπε ὁ Κασπάροφ τοῖς παροῦσιν ὅτι δέοι τὸν Ποῦτιν μὴ φοβεῖσθαι, διαβεβαιοῦται δὲ ὅτι ὁ Ποῦτιν τήν τε δημοκρατίαν οὐκ ἐᾷ καὶ τῇ ἀρχῇ χρῆται ὡς πλούσιος γενησόμενος.

**Τῶν κυβερνητῶν μεθυόντων, ἀερίαν πορείαν ἀναιροῦσιν**

Ἡ Βρεταννικὴ ἐπιχείρησις BA ἀερίαν πορείαν ἀνεῖλεν ἅτε τῶν κυβερνητῶν μεθυόντων. Δέον δὲ τὸ ἀεροσκᾶφος ἐκ τοῦ Μάνζεστερ εἰς τὴν Νέαν Ἰόρκην πέτεσθαι, πολίτης τις τοῖς φύλαξι εἶπεν ὅτι οἱ κυβερνῆται μάλα ἐμέθυσκον ἐν τῷ πανδοκείῳ οὗ ἔμενον. μετὰ δὲ ταυτα, οἱ φύλακες τῇ ἐπιχειρήσει τοῦτο ἤγγειλαν. ἅτε δὲ οὐκ ἐξὸν ἄλλοις κυβερνήταις χρῆσθαι,

ἐδέησε τήν τε πορείαν ἀναιρεῖν καὶ τοὺς ἐπιβάτας ἄλλοις ἀεροσκάφεσι πρὸς την Ἀμερίκην μεταφέρειν.

**Οἱ ἐν τῇ Μανίλῃ ἀναστάντες στρατιῶται ἑαυτοὺς παραδιδόασιν**

Ὁ στρατηγὸς Λῖμ καὶ ὁ λοχαγὸς Τριλλάνης πανδοκεῖόν τι βίᾳ λαβόντες τὴν τῆς χώρας πρόεδρον Ἀρρόλλω ἐκ τῆς ἀρχῆς ἐκβαλεῖν ἐβούλοντο, ὅμως δὲ τοῦτο οὐκ ἐκτήσαντο, ἡ γὰρ πρόεδρος τοὺς ἀναστάντας ἔπεισε ἑαυτοὺς παραδοῦναι, οἱ δὲ ἐπείθοντο ἵνα οἱ στρατιῶται μὴ μάτην ἀποθανοῖεν. ὅμως δὲ οὐ πάντες οἱ ἀναστάντες ἑαυτοὺς παρέδοσαν, ἔνιοι γὰρ ἔτι ἐν τῷ πανδοκείῳ ἔμενον, ἐδέησε δὲ τότε τοὺς τῆς ἀρχῆς στρατιῶτας τῷ πανδοκείῳ ἐπιτίθεσθαι. πρὶν δὲ ἐπιτίθεσθαι, τούς τε ξένους καὶ οἵτινες οὐ στρατιῶται ἦσαν ἐξήνεγκον.

## Citizens vote in Venezuela / Little problem in nuclear resort / Sailor turns up after five years

(04-12-07)

**Οἱ τῆς Βενεζουέλης πολῖται τὴν ψῆφον εἰστιθέασιν**

Οἱ τῆς Βενεζουέλης πολῖται ἀρχαιρεσίας ἐποιήσαντο προχθές· ὁ μὲν πρόεδρος Σιάβηθ τὴν πολιτείαν ἐπανορθοῦν τοῖς πολίταις προέθηκεν, διὰ δὲ τοῦτο εἰς ἀρχαιρεσίας τὸν δῆμον προσεκάλεσεν ἐν αἷς ἐδέησεν ἢ ὑπὲρ ταύτης τῆς μεταβολῆς ἢ ἐπὶ αὐτῆς ψηφίζεσθαι. τὸ δὲ ἀποβαῖνον τόδε ἐστίν· οἱ μὲν ὑπὲρ τῆς μεταβολῆς ψηφισάμενοι μόνον τὸ τῶν πολιτῶν ἥμισύ εἰσιν, οἱ δὲ ἐπὶ αὐτῆς ὀλίγου πλείονες ἢ τὸ ἥμισυ. κατὰ μὲν τὸν Σιάβηθ αὕτη ἡ μεταβολὴ πλεῖον ἀρχῆς τῷ δήμῳ παρέδωκεν ἄν, κατὰ μὲν τοὺς ἐπὶ τὸν Σιάηθ ἀναστάντας ἡ μεταβολὴ μόνον αὐτὸν ἐν τῇ ἀρχῇ εἰς ἅπαντα τὸν αἰῶνα ἔλειψεν ἂν καὶ δικτατωρείαν κατέστησεν ἄν.

**Μικρὸν δυστύχημα ἐν ἀτομικῇ κατασκευῇ**

Ἐν τῇ ἀτομικῇ κατασκευῇ Βανδελλῷ ὀνομαστί, ἐγγὺς τῆς Βαρκελόνης κειμένῃ, ἐδέησε τοὺς ἐργαστὰς τῆς πράξεως παύεσθαι, ἐν γὰρ τῷ κέντρῳ μικρὸν δυστύχημα ἐγένετο· τοῦτο δὲ τὸ δυστύχημα οὐδαμῶς τοὺς ἐκεῖ ἐργαζομένους εἰς κινδύνον κατέστησεν, ὅμως δὲ οὐ τὸ

πρῶτον τοῦτο γίγνεται, πολλάκις γὰρ ταὐτὸν τὸ πρὶν ἐγένετο. λέγουσι δὲ οἱ ἔμπειροι ὅτι δεῖ ταύτῃ τῇ κατασκευῇ οὐκέτι χρῆσθαι, γηραιτέρα γάρ ἐστιν ἢ ὥστε σαφῶς χρῆσθαι, ἴσως δὲ ταὐτὸν ἢ ἐν τῷ Ξερνόβιλ γένοιτο ἄν.

**Ναύτης τις φαίνεται μετὰ πέντε ἔτη**

Ναύτης τις, Ἰωάννης Δάρουιν ὀνομαστί, ἤδη τὸ πεμπτον ἔτος ἐξίτηλος ἐγένετο ἐν τῷ πόντῳ πλέων· οὗτος ὁ ἄνθρωπος ἐν τῇ Ἀγγλίᾳ ᾤκει, ἀπὸ δὲ τῆς παραλίας ἀποπλευσάμνεος οὐκέτι ἐπανέπλευσεν· τὸ μὲν πλοῖον τότε ηὗρον, αὐτὸν δὲ οὐδαμῶς. νῦν δέ, μετὰ πέντε ἔτη, αὖθις ἐξαίφνης σαφὴς ἐν τῇ Ἀγγλίᾳ ἐφάνη, οὐδεὶς δὲ οἶδε ὅπου τοῦτον τὸν μακρὸν χρόνον ἦν. αὐτὸς δὲ οὐκ εἶπεν, λέγει δὲ ὁ τοῦ ναύτου πατὴρ ὅτι ὁ υἱὸς ἀμνησίᾳ πάσχει. οἱ φύλακες πειράσονται νῦν πυνθάνεσθαι ὅπου οὗτος ὁ ναύτης πέντε ἔτη ἦν.

## Ronaldinho, with a foot outside F. C. Barcelona / Germany wants to ban Scientology / Italy wants the “third part” also for football

(09-12-07)

**Ῥωναλδίνω πόδα ἔξω τῆς Βαρκελόνης ἔχει**

Ὁ ἔνδοξος τῆς Βαρκελόνης ποδοσφαιριστὴς Ῥωναλδίνω πρῶτον μέν, εἰς τὴν Βαρκελόνην ἀφικόμενος, πάντας τοὺς θεατὰς ἐκήλει, βέλτιστά τε καὶ ἄριστα ἐν τοῖς ἀγῶσι ἀεὶ ἐμάχετο καὶ πάντας τοὺς ἐναντίωντας ἐνίκα, νῦν δὲ οὐδὲν ποιεῖ, νομίζει γὰρ ἤδη ἱκανὸν πεποιηκέναι, οὕτως δὲ ἀργὸς γεγένηται ὥστε ὁ ἄρχων αὐτὸν πρὸς τοὺς ἀγῶνας ἐνίοτε οὐκ εἰσκαλεῖ, αὐτῷ γὰρ συναγωνίζεσθαι τὸ αὐτό ἐστι ἢ μόνον σὺν δέκα ἀγωνίζεσθαι. οἱ τῆς Βαρκελόνης ἕταιροι πρὸς τὸν πρόεδρον ἐπιστολὰς πέμπουσιν ἐν αἷς αὐτῷ παραινοῦσι τοῦτον τὸν ποδοσφαιριστὴν ἀποδιδόναι.

**Ἡ Γερμανία τὴν Ἐπιστημολογίαν ἀπαγορεύειν βούλεται**

Ἐν τῇ Γερμανίᾳ ἓξ χίλιοι ἄνθρωποι τῇ οὕτως καλουμένῃ "τῆς Ἐπιστημολογίας Ἐκκλησίᾳ" ὁμιλοῦσιν, νῦν δὲ ἡ Γερμανικὴ ἀρχὴ ταύτην τὴν κοινωνίαν ἀπαγορεύειν βούλεται, λέγουσι

γὰρ οἱ τῆς χώρας ἄρχοντες ὅτι οἱ τῆς κοινωνίας νόμοι τήν τε Γερμανικὴν πολιτείαν καὶ τὴν δημοκρατίαν οὐ φυλάττουσιν· ὡς δὲ εἰκός ἐστιν, οἱ τῆς κοινωνίας ἄρχοντες τὸ ἐναντίον διαβεβαιοῦνται.

**Ἐν τῇ Ἰταλίᾳ τὸ "τρίτον μέρος" ἐν τῷ ποδόσφαιρον εἰστιθέναι πειρῶσιν**

Τί ἐστι τὸ τρίτον μέρος; τοῦτο ἔθος ἐστὶ τοῦ ῥοῦγβυ, κατὰ δὲ τοῦτο τὸ ἔθος δεῖ ἀναγκαίως τοὺς ἀγωνιστάς, τοῦ ἀγῶνος τελευτήσαντος, ἀλλήλοις διαλέγεσθαί τε καὶ φιλίαν ποιεῖσθαι οἶνον συμπίνοντας καὶ σῖτον ἐσθίοντας, οἱ δὲ τοῦ ποδοσφαιροῦ ἐν τῇ Ἰταλίᾳ ἀρχόμενοι βούλονται νῦν τὸ αὐτὸ ἔθος ἐν τῷ ποδοσφαίρῳ εἰστιθέναι· ὅμως δὲ λέγουσι πολλοὶ ὅτι τὸ αὐτὸ ποιεῖν ἐν τῷ ποδοσφαίρῳ ἢ ἐν τῷ ῥοῦγβυ οὐκ ἔξεστιν, τὸ γὰρ ῥοῦγβυ καλοί τε καὶ ἀγαθοὶ ἀσκοῦσιν, τὸ δὲ ποδόσφαιρον ἄγριοί τε καὶ ψευδεῖς.

## Thousands gather in Gaza for Hamas / Robert Mugabe again presidential candidate / Fujimori gets 6 years sentence

(15-12-07)

**Μυρίοι ἐν τῇ Γάθῃ συνέρχονται τὸ Ἅμας ἐγκωμιάζοντες**

Ἤδη εἰκοστὸν ἔτος τὸ Ἅμας ἐγένετο, οἱ δὲ Παλαιστίνοι τοῦτο ἑορτάζουσι πρὸς τὴν πόλιν Γάθαν συνερχόμενοι. ὁ ταύτης τῆς ὀργανώσεως ἄρχων, ὁ Ἀλὴδ Μασιᾶλ, ὃς ἐν τῇ Συρίᾳ οἰκεῖ, εἶπε ὅτι δεῖ τοὺς Παλαιστίνους ἔτι τῷ Ἰσραῆλ μάχεσθαι καὶ οὐ παύεσθαι μαχομένους πρὶν τούτους ἂν νικῶσιν. ἡ δὲ τοῦ Ἅμας ἱστωρία θαυμαστή ἐστιν, πρῶτον μὲν γὰρ τὸ Ἰσραῆλ αὐτῷ ἐβοήθει ἅτε ἐπὶ τὸν Ἀραφᾶτ ἐπιτιθεμένῳ, ἔπειτα δὲ τὸ Ἅμας αὐτὸ καὶ ἐπὶ τὸ Ἰσραῆλ ἐμάχετο, βούλεται γὰρ τοὺς Ἰουδαίους ἐκ τῆς Παλαιστίνης ἐξελαύνειν.

**Ὁ Ῥοβέρτος Μουγάβη αὖθις ἐν ταῖς ἀρχαιρεσίαις ἁμιλλήσεται**

Ὁ τῆς Θιμβαύης πρόεδρος Ῥοβέρτος Μουγάβη, ἤδη τρία καὶ ὀγδοήκοντα ἔτη γεγονώς, πάλιν ἐν ταῖς ἀρχαιρεσίαις ἁμιλλᾶσθαι βούλεται, καίπερ τῆς οἰκονομίας τὴν χώραν πρὸς μεγίστην συμφορὰν ἐλαυνούσης. τί δὲ λέγει ὁ πρόεδρος αὐτός; λέγει ὅτι τὴν χώραν λιπεῖν οὐ

βούλεται καὶ ὅτι οἱ πολῖται βούλονται ἑαυτὸν ἐν τῇ ἀρχῇ μένειν· ὅμως δὲ οἱ τῷ Μουγάβῃ ἐπανιστάμενοι βούλονται αὐτὸν τὴν δικτατωρικὴν ἀρχὴν καταλιπεῖν καὶ δικαίας ἀρχαιρεσίας ποιεῖσθαι.

**Τοῦ Φουχιμόρι ἓξ ἔτη καταγιγνώσκουσιν**

Οἱ τῆς Λίμης δικασταὶ τοῦ προτέρου προέδρου Φουχιμόρι ἓξ ἔτη κατέγνωσαν ἅτε χρήματα ἐκ τοῦ κοινοῦ κλέψαντος καὶ ἐνίους πολίτας ἑαυτῷ ἀναστάντας ἀποκτείναντος. ὁ μὲν Φουχιμόρι τὴν τῆς Περοῦ ἀρχὴν δέκα ἔτη εἶχεν, ἔπειτα δὲ πρὸς τὴν Ἰαπωνίαν (οὗ ἐγένετο) ἀπέφυγε. ἐν δὲ τῇ ἀπολογίᾳ εἶπε ὁ Φουχιμόρι ὅτι διαφθαρεῖσαν χώραν δεξάμενος αὐτὴν ευξήσειεν καὶ οἱ πολῖται βελτίονα δίαιταν σχοῖεν ἑαυτοῦ ἄρχοντος.

## Sherlock Holmes, 120 years old / Nine countries join Schengen area / Fourteen people try to release terrorist

(22-12-07)

**Ὁ Σιέρλωκ Ὅλμης, ἤδη εἴκοσι και ἑκατὸν ἔτη γεγονώς**

Ὁ Σιέρλωκ Ὅλμης, ἐνδοξότατος ἐξεταστής, "ἐγένετο" ἤδη εἰκοστὸν καὶ ἑκατοστὸν ἔτος. ὁ Βρεταννικὸς συγγραφεὺς Κώναν Δοῖλης τοῦτον τὸν σοφότατον ἐξεταστὴν τοῖς τότε ἔδοξεν ἐν βίβλῳ "Ἐξέτασις ἐν τῷ ἐρύθρῳ" καλουμένῃ, ἐν ᾗ δεῖ τὸν ἐξεταστὴν δολοφονίαν διαλύειν καὶ τὸν δολοφόνον εὑρεῖν. οἱ μὲν ἀναγιγνώσκοντες ταύτην τὴν βίβλον μάλιστα ἐπῄνεσαν, τῷ δὲ συγγραφεῖ ἔδοξεν ἔτι πλείονας περὶ τοῦ Ὅλμης ἱστωρίας γράφειν. αὗται αἱ ἱστωρίαι εἰς πολλὰς γλώττας μετεφράσθησαν, μία δὲ αὐτῶν καὶ εἰς τὴν ἀρχαίαν Ἑλληνικὴν γλῶτταν (ἐγὼ ἐποίησα). ἐν δὲ τῷ Λονδίνῳ τὸ τοῦ Σ. Ὅλμης μουσεῖον ἐπισκοπεῖν ἔξεστιν.

**Ἐννέα νέαι χῶραι εἰς τὸν Σιέγγην τόπον ἐγκρίνονται**

Χθὲς ἐννέα χῶραι ἐν τῇ ἑῴᾳ Εὐρώπῃ κείμεναι εἰς τὸν κοινὸν Σιέγγην τόπον ἐνεκρίθησαν, τοῖς δὲ τούτων τῶν χωρῶν πολίταις ἤδη ἐλευθερῶς διὰ τῆς Εὐρώπης διέρχεσθαι ἔξεσται. μετὰ μὲν γὰρ τὸν δευτεραῖον παγκόσμιον πόλεμον οὐκ ἐξῆν τοῖς πολίταις τοῖς ἐν ταῖς ὑπὸ

τῶν σοβιετικῶν ἐπισχεθείσαις χώραις οἰκουμένοις ἐκ τῆς χώρας ἐκβαίνειν, νῦν δὲ ἔξεστιν ὡς ταύτης τῆς συνθήκης ὑπογραφείσης. νῦν δὲ εἴκοσι καὶ τέτταρες χώραι ταύτῃ τῇ συνθήκῃ χρῶνται, καὶ δὴ καὶ ἡ Σλοβακία βούλεται τὸ εὖρον ὡς νόμισμα τῷ μέλλοντι χρόνῳ ἔχειν.

**Τεσσερακαίδεκα ἄνθρωποι τρομοκράτην λύειν πειρῶσιν**

Ἐν τῇ Βελγίᾳ ἰσλαμικὸς τρομοκράτης, Νιζᾶρ Τραβέλσι ὀνομαστί, ἐν τῷ δεσμωτηρίῳ κεῖται ἅτε πειρήσας τρομοκρατικὴν προσβολὴν ποιεῖσθαι, οἱ δὲ ταύτης τῆς χώρας φύλακες περὶ βουλήν τινα ἤκουσαν ἣν ἄλλοι ἰσλαμισταὶ παρεσκευάζοντο ἵνα τὸν ἑταῖρον λύσειαν· ταύτην δὲ τὴν βουλὴν ἀκούσαντες καὶ τοὺς ἐπιβουλεύοντας εὑρόντες, τεσσερακαίδεκα ἀνθρώπους συνέλαβον. ὅμως δέ, οὐ διὰ πολλοῦ αὐτοὺς ἔλυσαν.

## British Council cancels activities in Russia / Unrest in Kenia goes on / Servia wants to intervene in Kosovo

(17-01-08)

**Ἡ Βρεταννικὴ Βουλὴ τὰς ἐν τῇ Ῥωσσίᾳ πράξεις παύει**

Ἡ Βρεταννικὴ Βουλὴ ἔπαυσε τὰς πράξεις ἃς οἱ ἐν τῷ Σᾶν Πετροβούργῳ καὶ τῇ Εκατεριμβούργῳ Βρεταννικοὶ πρεσβεῖς πράττουσιν, ἅτε τῶν Ῥωσσικῶν φυλάκων τοὺς ἐκεὶ Βρεταννικοὺς οἰκούντας ἐνοχλούντων. ἤδη μὲν δευτέραν ἡμέραν οἱ φύλακες πολλοὺς Βρεταννικοὺς ἐκεῖ ἐργαζομένους ἀλόγως ἀνακρίνουσιν, οἱ δὲ τῆς ΦΣΚ (τὸ πρότερον ΚΓΒ) κωλύει αὐτοὺς ἐργάζεσθαι, καὶ δὴ καὶ χθὲς τῆς νυκτὸς εἰς τὰς ἐνίων αὐτῶν οἰκίας ἀπροσδοκέτως εἰσέβησαν. κατὰ δὲ τοὺς Βρεταννικούς, οἱ φύλακες πειρῶσιν αὐτοὺς εἰς φόβον καταστῆσαι· ἴσως δὲ πρὸς τὸν "Ψυχρὸν Πόλεμον" ἐπανερχόμεθα;

**Τὰ ἐν τῇ Κενίᾳ προβλήματα οὐ τέλος ἔχουσιν**

Κατὰ τοὺς ξένους τηρούντας, αἱ ἐν τῇ Κενίᾳ ἀρχαιρεσίαι ὑπὸ τῶν ἐν τέλει διεφθάρησαν, ἡ δὲ Εὐρωπαίᾳ Βουλὴ τὰς ὠφελείας πέπαυκε μέχρι ἂν ἡ ἐκεῖ πολιτικὴ κρίσις τέλος ἔχῃ, ἐξ γὰρ οὗ αἱ ἐνστάσεις περὶ τῶν ἀρχαιρεσιῶν ἤρξαντο, πλείονες ἢ ἑξακόσιοι ἄνθρωποι

ἀπέθανον ἐν ταύτῃ τῇ χώρᾳ. κατὰ δὲ τοὺς ἀνθίσταντας, ὁ πρόεδρος ἑκατομμύριον ψήφων διέφθειρε καὶ ἀπαιτοῦσι παρὰ τῶν ἐν τέλει τὰς ἀρχαιρεσίας αὖθις ποιεῖν. ἀλλὰ ἡ αὕτη ἅμιλλα οὐ μόνον μεταξὺ τῶν ἐν τέλει καὶ τῶν ἀναστάντων ἐστίν, ἀλλὰ καὶ μεταξὺ φυλῶν.

**Ἡ Σερβία ἐν τῷ Κοσόβῳ ἑαυτὴν παρενείρειν βούλεται**

Ἡ Σερβικὴ ἀρχὴ λέγει ὅτι τοὺς Σερβίους πολίτας ἐν τῷ Κοσόβῳ οἰκοῦντας φυλάττειν βούλεται, κατὰ δὲ τὸν τῆς Σερβίας πρόεδρον ἡ τοῦ Κοσόβου αὐτονομία οὐ κατὰ τοὺς νόμους ἐγένετο. ὁ δὲ τοῦ Κοσόβου πρόεδρος τὸ ἐναντίον λέγει καὶ διαβεβαιοῦται ὅτι δεῖ ὡς τάχιστα τῇ αὐτονομίᾳ χρῆσθαι, ἐλπίζει δὲ πάντας ταύτην τὴν αὐτονομίαν εὖ δέξεσθαι. ὡς εἰκός, ἡ Ῥωσσικὴ ἀρχὴ τῇ Σερβίᾳ βοηθεῖ καὶ τῇ τοῦ Κοσόβου αὐτονομίᾳ ἐναντιοῦται.

## Bobby Fischer dies / Olympia must be rebuilt for Olympic flame / Latvia expels Russian diplomat

(22-01-08)

**Ὁ Βόββυ Φίσιερ ἀποθνῄσκει**

Ὁ ἐνδοξότατος ἐν τῷ σκάκι ἀγωνιστὴς Βόββυ Φίσιερ ἀπέθανεν, ἑξήκοντα καὶ τέτταρα ἔτη γεγονώς· ὁ δὲ Φίσιερ ἐν τῇ Ἰσλανδίᾳ ἐνῴκει, οὗπερ πάλαι ἐπὶ τὸν σοβιετικὸν Βόρις Σπάσσκυ ἠγωνίσατο ἵνα βέλτιστος τῆς οἰκουμένης γένοιτο. ὁ Φίσιερ ἐν ταύτῃ τῇ χώρᾳ ἐνῴκει ἅτε οὐκ ἐξὸν αὐτῷ εἰς τὴν Ἀμερίκην ἐπανελθεῖν, τὸ γὰρ πρότερον τόδε ἐγένετο· πρῶτον μὲν ἡ Ἀμερικανὴ ἀρχὴ τοῖς Ἀμερικανοῖς πολίταις ἀπεῖπεν εἰς τὴν Ἰουγοσλαβίαν πορεύεσθαι, ὅμως δὲ ὁ Φίσιερ ἐκεῖσε προσῆλθεν· ἔπειτα δέ, οὐ βουλόμενος εἰς τὴν Ἀμερίκην ἐπανελθεῖν, συνελέφθη γὰρ ἄν, εἰς τὴν Ἰαπωνίαν προσῆλθεν, οὗ ὀκτὼ μῆνας ἔμεινεν ἕως ἡ Ἰσλανδικὴ ἀρχὴ αὐτῷ τὴν Ἰσλανδικὴν πολιτείαν ἔδωκεν.

**Δεῖ τὴν Ὀλυμπίαν ἐπισκευάζειν πρὶν τὴν λαμπάδα ἀνακαίειν**

Τὸ πέρυσι πολλὰ πυρὰ ἐν τῇ Πελοποννήσῳ πολλὰς ὕλας κατέκαυσεν, καὶ τὴν ὕλην τὴν περὶ τῆς Ὀλυμπίας κειμένην· νῦν δέ, τὴν λαμπάδα αὖθις ἀνακαίειν δέον, αὕτη ἡ ὕλη ἔτι καὶ νῦν

κατακέκαυται οὐδὲ ἔξεστιν ἐκεῖ τὰ ἱερὰ ποιεῖν· κατὰ δὲ τὸν τοῦ Ἑλληνικοῦ Ὀλυμπικοῦ Συνεδρίου φερέφωνον δεῖ τὸν τόπον ὡς τάχιστα ἐπισκευάζειν καὶ τὰ κατακαυθέντα δένδρα ἀπολαβεῖν καὶ νέα φυτεύειν, ὅμως δὲ οὐδεῖς τοῦτο ποιεῖ καίπερ κατεπείγον ὄν. ἑξήκοντα καὶ πέντε ἀνθρώπους ἐκείνοις τοῖς πυρσὶν ἀπέθανον.

**Ἡ Λατβία Ῥωσσικὸν πρεσβευτὴν ἐκβάλλει**

Ἡ τῆς Λατβίας ἀρχὴ Ῥωσσικὸν πρεσβευτὴν ἐξέβαλεν ὡς τὴν τῆς χώρας ἄδειαν ἐν κινδύνῳ καθιστάς, ἀλλὰ τὴν αἰτίαν οὐκ εἶπεν, οὐδεὶς δὲ οἶδε ὅ τι οὗτος ὁ πρεσβευτὴς ποιοῖτο· ὁ δὲ τῆς Λατβίας πρόεδρος, ὁ Ἴβαρς Γόδμανις, εἶπε ὅτι τοῦτο τὸ δυστύχημα τὴν πρὸς τὴς Ῥωσσίαν φιλίαν οὐ παύσοι. ἡ Λατβία αὐτόνομος ἐγένετο τῆς σοβιετικῆς ἀρχῆς τελευτησάσης .

## Helmut Schmidt, in court for smoking / Palestinians flee into Egypt / Obama wins in South Carolina

(27-01-08)

**Ὁ Ἕλμουτ Σμῖτ παρὰ τοὺς νόμους καπνίζει**

Ὁ πρότερος Γερμανικὸς πρόεδρος Ἕλμουτ Σμῖτ, ἤδη ὀγδοήκοντα καὶ ἐννέα ἔτη γεγονώς, τὸ καπνίζειν μάλιστα φιλεῖ, τοσοῦτον δὲ φιλεῖ ὥστε ἴσως νῦν δεήσει αὐτὸν δικὴν διδόναι ἅτε ἐν θεάτρῳ καπνίσας. τόδε ἐγένετο· ὁ μὲν Σμῖτ καὶ ἡ γυνὴ αὐτοῦ εἰς θέατρόν τι εἰσῆλθον καί, καθισάμενοι, πολλάκις ἄμφω μόνοι ἐκάπνιζον ἕως τὸ θέαμα ἐγίγνετο, τῶν ἄλλων θεατῶν οὐδαμῶς καπνιζόντων. ἔπειτα δὲ ἔνιοι τῶν παρόντων αὐτοὺς τοῖς δικασταῖς ἐμήνυσαν, δεῖ δὲ νῦν τούτους τοὺς δικαστὰς διακρίνειν πότερον τοῦ ἐνδοξοτάτου προέδρου καταγνῶναι χρὴ ἢ οὔκ.

**Οἱ Παλαιστίνοι εἰς τὴν Αἴγυπτον ἀποφεύγουσιν**

Ἐξ οὗ ἡ τοῦ Ἰσραῆλ ἀρχὴ τοὺς Παλαιστίνους ἐν τῇ Γάζῃ οἰκουμένους τῶν ἀναγκαίων στερίσκει, ἀποφεύγουσιν οὗτοι πρὸς τὴν Αἴγυπτον ἵνα τὰ ἐπιτήδεια κτῶνται· πρῶτον μὲν ἡ τῆς Αἰγυπτίου ἀρχὴ τοῦτο κωλύειν ἐπείρα, τοῦτο δὲ οὐκ ἐξὸν ποιεῖν οἱ φύλακες τὸν ὅρον

ἀπροσδόκετον κατέλιπον, οἱ γὰρ Παλαιστίνοι τὸ τεῖχος τὰς δύο χώρας ἀπὸ ἀλλήλων ὁρίζον κατέβαλον. ἡ δὲ τοῦ Ἰσραῆλ ἀρχὴ λέγει ὅτι ἴσως Παλαιστίνοι τρομοκράται ἐκ τῆς Γάζης εἰς τὴν Αἴγυπτον διέβησαν ἐν νῷ ἔχοντες ἐν τῷ ὄρει Σιναὶ τοῖς Ἰσραηλίταις ἐπιτίθεσθαι, πολλοὶ γὰρ Ἰσραηλίται εἰς τοῦτον τὸν τόπον κατ᾽ ἐνιαυτὸν ἔρχονται ὡς ἡσυχίαν ἄξοντες.

**Ὁ Ὀβάμα ἐν τῇ Μεσεμβρινῇ Καρολίνῃ πολλῷ νικᾷ**

Ὁ τοῦ Ἰλλινοῖς βουλευτὴς Βάρακ Ὀβάμα πλεῖον ἢ τὸ ἥμισυ τῶν ψήφων ἐκτήσατο ἐν τῇ Μεσεμβρινῇ Καρολίνῃ, τὸ διπλοῦν ἢ ἡ Κλίντων. πλεῖον ἢ τὸ ἥμισυ τῶν ἐκεῖ ψηφιζομένων Ἀφροαμερικάνοι εἰσίν, διὰ δὲ τοῦτο ὑπὲρ τοῦ Ὀβάμα ἐψηφίσαντο· ὅμως δὲ λέγει ὁ Ὀβάμα ὅτι δεῖ τὰς ἀρχαιρεσίας ἅμιλλαν τῶν Ἀφροαμερικάνων ἐπὶ τοὺς λευκοὺς οὐ γίγνεσθαι ἀλλὰ ἅμιλλαν τοῦ μέλλοντος χρόνου ἐπὶ τὸν παρεληλυθότα χρόνον.

## Giuliani drops out / Terrorist kills 44 / Merkel feels at home in Mallorca

(01-02-08)

**Ὁ Γιουλιάνι ἀφίσταται**

Ὁ πρότερος τῆς Νέας Ἰόρκης ἐπιστάτης, Ῥοδόλφος Γιουλιάνι, εἶπεν ὅτι οὐκέτι ἐν ταῖς ἀρχαιρεσίαις ἀγωνίσοιτο καὶ τὸν ἄλλον εἰς ἀρχὴν παραγγέλλοντα, τὸν Ἰωάννην ΜκΚαῖν, προαιροῖτο. ὁ μὲν Γιουλιάνι ἐν τῇ Φλορίδᾳ νικᾶν ἤλπισεν, ὅμως δὲ ἐκεῖ ἡττηθεὶς ἀφίστασθαι ἔγνω.

ὁ Γιουλιάνι ἐπιστάτης τῆς Νέας Ἰόρκης ἦν ὅτε οἱ τοῦ Βῖν Λάδην τρομοκράται ταύτῃ τε τῇ πόλει καὶ τῷ πενταγόνῳ ἐπέθεντο.

**Τρομοκράτισσα τετταράκοντα καὶ τέτταρας ἀνθρώπους ἀποκτείνει**

Ἐν ἀγορᾷ τινι τῆς Βαγδᾶδ ἐν ᾗ οἱ πολῖται ὄρνιθας ὠνοῦνταί τε καὶ ἀνταλλάττουσι τρομοκράτισσα βόμβᾳ χρωμένη τετταράκοντα καὶ τέτταρας ἀνθρώπους ἐκεῖ παρόντας καὶ πολλὰ ζῷα καὶ ἑαυτὴν ἀπέκτεινεν, πολλοὶ δὲ ἄλλοι ἐβλάβησαν. τὸ δὲ πέρυσιν καὶ ἐν ταύτῃ

τῇ ἀγορᾷ πεντεκαίδεκα ἄνθρωποι ἀπέθανον τῇ αὐτῇ αἰτίᾳ, οἱ γὰρ ἀνθιστάμενοι ἀεὶ ταῖς ἀγοραῖς ἐπιτίθενται, ἀγορᾶς γὰρ πληθούσης μάλιστα βλάπτουσιν.

**Ἡ Μέρκηλ ἐν τῇ Μαιόρκῃ ὡς οἴκοι χαίρει**

Ἡ τῆς Γερμανίας πρόεδρος Μέρκηλ καὶ ὁ τῆς Ἱσπανίας πρόεδρος σύνοδον ἐποιήσαντο ἐν τῇ νήσῳ Μαιόρκῃ, οὐδεὶς δὲ οἶδε πότερον αὕτη ἡ νῆσος Γερμανικὴ ἢ Ἱσπανική ἐστιν, τριάκοντα γὰρ χίλιοι τῆς Γερμανίας πολῖται ἀεὶ ἐκεῖ οἰκοῦσι καὶ ἡ Γερμανικὴ γλῶττα δευτεραία ἐκεῖ ἐστι, διὰ δὲ ταῦτα ἡ Μέρκηλ εἶπεν ὅτι ὡς οἴκοι χαίροι.

## Britannia disappears from coins / Parliament in Turkey debates on veil / Orthodox priests elect new leader

(08-02-08)

**Ἡ Βριταννία ἐκ τῶν νομισμάτων ἀφανίζεται**

Ἡ τῆς Βριταννίας εἰκὼν ἐν τοῖς Βρετανναικοῖς νομίσμασι περιῆν πλεῖον ἢ τριακοσία ἔτη, καίπερ ἐν τούτῳ τῷ χρόνῳ τῶν ἀρχόντων μεταβαλομένων· ὅμως δὲ τῷ μὲν πρωθυπουργῷ Γόρδων Βρῶν ἔδοξε τοῦτο διατελεῖν, ἡ δὲ βασίλεια ταύτην τὴν μεταβολὴν ἀπεδέξατο. ἔνιοι μὲν τοῦτο ἐπῄνεσαν, ἄλλοι δὲ λέγουσιν ὅτι ἡ Βριταννία σύμβολον ἦν τῆς ἀρχῆς καὶ ὅτι δεῖ αὐτὸ κατέχειν. ὅμως δὲ αὕτη ἡ μεταβολὴ οὐ μεγάλη ἐστίν, τοῦτο γὰρ τὸ σύμβολον οὐκ ἐν πᾶσι τοῖς νομίσμασι ἦν, μόνον δὲ ἐν τοῖς μικροῖς.

**Ἡ τῆς Τουρκίας βουλὴ περὶ τοῦ πέπλου συμβουλεύεται**

Ἐν τῇ τῆς Τουρκίας βουλῇ συμβουλεύονται οἱ βουλευταὶ πότερον δεῖ τὰς ἐν τοῖς πανεπιστημίοις μαθητὰς τῷ πέπλῳ χρῆσθαι ἐᾶν ἢ οὔκ· τῶν δὲ πολιτῶν οἱ μὲν τῷ πέπλῳ ἀνίστανται λέγοντες ὅτι τοῦτο ἐπίθεσις τῶν ἱερέων ἐπὶ τοὺς πολίτας ἐστίν, οἱ δὲ τοῦτο ἐπαινοῦσιν λέγοντες ὅτι δεῖ τοὺς πολίτας χρῆσθαι ἐᾶν ᾧτινι σύμβολον αὐτοῖς δοκῇ ἄν. ὅμως δὲ πάντες οἱ βουλευταὶ ὁμολογοῦσιν τοῦτο μόνον ἐν τοῖς πανεπιστημίοις ἐᾶν ἀλλὰ οὐκ ἐν

τοῖς διδασκαλείοις, ἐν γὰρ τούτοις οἱ παῖδες οἱ ἐκεῖ φοιτῶντες ἔτι νεώτεροί εἰσιν ἢ ὥστε τοῦτο διακρίνειν.

**Οἱ ὀρθοδόξοι ἱερεῖς νέον ἄρχοντα αἱροῦνται**

Τοῦ τῶν ὀρθοδόξων ἱερέων ἄρχοντος Χριστοδούλου ἀποθανόντος, ὁ Ἰερόνυμος νέος ἄρχων ᾑρέθη· οἱ ὀρθοδόξοι ἱερεῖς εἰς τὰς Ἀθήνας συνελθόντες καὶ σύνοδον ποιοῦντες ἐψηφίσαντο. ὁ δὲ Ἰερόνυμος, ἑβδομήκοντα ἔτη γεγονώς, διδάσκαλός τε καὶ ἀρχαιολόγος ἦν πρὶν ἢ ἱερεὺς ἐγένετο. οἱ μὲν ὀρθόδοξοι πλείονες ἢ πεντεκαίδεκα ἑκατομμυρία εἰσίν, ἡ δὲ καθολικὴ καὶ ἡ ὀρθοδόξη πίστις ἔτι καὶ νῦν χωρισμὸν κατέχουσιν.

## Electric chair banned / Putin threatens Ukrania / Australia apologises to natives

(14-02-08)

**Τὸν ἠλεκτρικὸν δίφρον ἀπαγορεύουσιν**

Οἱ ἐν τῇ Νεβράσκῃ δικασταὶ εἶπον ὅτι τὸ τῷ ἠλεκτρικῷ δίφρῳ χρῆσθαι παράνομόν ἐστιν· ἐν μὲν ταῖς Ἡνωμέναις Ἀμερίκης Πολιτείας πεντήκοντα πολιτεῖαι εἰσίν, τούτων δὲ ἐν τριακόντα καὶ ὀκτὼ τὸν θάνατον τῶν φονέων καταγιγνώσκουσιν, ὅμως δὲ μόνον ἐν τῇ Νεβράσκῃ ἔτι καὶ νῦν τῷ ἠλεκτρικῷ δίφρῳ ἔχρωντο, ἐν γὰρ ταῖς ἄλλαις πολιτείαις φαρμάκοις χρῶνται. νῦν δὲ λέγουσιν οἱ δικασταὶ ὅτι ὁ μὲν ἀποθνῄσκων μάλιστα πάσχει, δεῖ δὲ φυλάττεσθαι ὅπως μὴ περισσῶς παθῇ.

**Ὁ Ποῦτιν τῇ Οὐκρανίᾳ ἀπειλεῖ**

Ὁ Ποῦτιν λέγει ὅτι, εἀν ἡ Οὐκρανία τὸ πυραυλῶν Ἀμερικανὸν σύστημα ἐν τῇ χώρᾳ καταστήσῃ, δεήσει τὴν Ῥωσσίαν τὰ ἑαυτῶν πύραυλα πρὸς τὴν Οὐκρανίαν ὀρέγεσθαι, διαβεβαιοῦται γὰρ ὅτι, τῆς Οὐκρανίας τοῦτο ποιησάσης, ἡ ἰσορροπία διαφθερεῖται. ἐκ δὲ οὗ ἡ Οὐκρανία ἀπὸ τῆς Ῥωσσίας τὴν αὐτονομίαν ἐδέξατο, ἅμιλλαν ποιοῦνται ὅ τε Ποῦτιν καὶ ὁ Ἰουσιένκω· καὶ δὴ καὶ ἐν τῇ Οὐκρανίᾳ αὐτῇ πολλοὶ πολῖται αὖθις τῇ Ῥωσσίᾳ προσκεῖσθαι βούλονται, ὅμως δὲ οἱ πλεῖστοι τῶν ἐκεῖ οἰκούντων βούλονται αὐτόνομοι μένειν.

**Ἡ Αὐστραλία τοὺς αὐτόχθονας παραιτεῖται**

Ὁ τῆς Αὐστραλίας πρωθυπουργὸς Κέβιν Ῥοῦδ, ἐκ τῆς Βουλῆς ἀγορεύων, τοὺς αὐτοχθόνας παρῄτησε περὶ οὗ οἱ κατοικίζοντες τὸ πρόσθεν ἐποίησαν, λέγουσι γὰρ οἱ αὐτοχθόνες ὅτι οἱ κατοικίζοντες πολλοὺς παῖδας βίᾳ λαβόντες πρὸς τὰς νέας πόλεις ἔπεμψαν ὡς αὐτοὺς παιδεύσοντες, τοῦτο δὲ ποιοῦντες τούτους τοὺς παῖδας ἀπὸ τῶν γεννητῶν ἐχώρισαν καὶ ξένην παιδείαν αὐτοῖς ἀέκουσιν ἔδοσαν. ὅμως δὲ τὸ νῦν ἔχθρα οὔκ ἐστιν ἀλληλοῖς ἐν τῇ χώρᾳ.

## Arab king covers airplane with gold / Kosovo becomes independent / Rolling Stones speak against drugs

(20-02-08)

**Ἀραβικὸς ἄναξ ἀεροσκάφος χρυσῷ σκεπάζει**

Ὁ Σαύδιος ἄναξ ῀Αλ Οὐαλῆδ, πεντήκοντα καὶ δύο ἔτη γεγονὼς καὶ τρισκαιδέκατος πλουσιώτατος ἄνθρωπος τῆς πάσης οἰκουμένης ὤν, ἀεροσκάφος ὠνησάμενος οὐ μόνον χρυσῷ σκεπάζειν ἐν νῷ ἔχει ἀλλὰ καὶ ἐν τῷ ἀεροσκάφει πάντα τὰ ἐπιτήδεια ἐνθεῖναι ἃ ὡς τὰ πολλὰ ἐν οἰκίᾳ ἔνεστιν· ἔνδον δὲ οὐ μὲν ἓν οἴκημα ἔνεσται, πολλὰ δέ, ἐν δὲ ἑκάστῳ ὕδωρ ὑπὸ χεῖρα ἔσται. καὶ δὴ καὶ ἐν τῷ ὑπερῴῳ στέγῳ κίνημά τε καὶ γυμνάσιον (ἴσως ἀθλητής ἐστιν;) ἐνθήσεται. ἐν δὲ τῷ πρὶν χρόνῳ οὗτος ὁ ἄναξ τὸ Σαβοῖ πανδοκεῖον ἐν τῷ Λονδίνῳ ὠνήσατο.

**Τὸ Κόσοβον αὐτόνομον γίγνεται**

Τὸ μὲν Κόσοβον ἐπαρχία τῆς Σερβίας ἦν τὸ πρότερον, νῦν δὲ ἡ τοῦ Κοσόβου βουλὴ κήρυγμα πεποίηκε κατὰ ὃ ἐλεύθεροί τε καὶ αὐτονόμοι γίγνονται καὶ οὐκέτι τῆς Σερβίας ὑπακούσονται. κατὰ δὲ τὸ εἰκός, ἡ τῆς Σερβίας ἀρχὴ τοῦτο τὸ κήρυγμα ἀπέωσεν, λέγουσι γὰρ οἱ Σέρβιοι ὅτι οὐδεπώποτε τὸ Κόσοβον ὡς αὐτόνομον χώραν δέξονται. αἱ μὲν Ἡνωμέναι Ἀμερικῆς Πολιτεῖαι καὶ ἡ Βριττανία καὶ ἡ Γερμανία καὶ ἡ Γαλατία ἤδη τὴν νέαν χώραν ὡς

νομίμην δεδεγμέναι εἰσίν, ἄλλαι δὲ χώραι τοῦτο ποιεῖν οὐ βούλονται, ἐπὶ παραδείγματος ἡ Ῥωσσία.

**Οἱ Κυλινδούμενοι Λίθοι κατὰ τὰ φάρμακα ἀγορεύονται**

Οἱ ἔνδοξοι ἀοιδοὶ "Κυλινδόμενοι Λίθοι" λέγουσιν ὅτι ἐὰν οἱ νεανίαι φαρμάκοις χρῶνται, ἑαυτοὺς διαφθεροῦνται· ὁ δὲ Ἰάγηρ, ἤδη ἑξήκοντα καὶ τέτταρα ἔτη γεγονώς, νεὸς μὲν ὢν ὑπὸ τῶν φυλάκων συνελέφθη ἅτε φάρμακα ἔχων, νῦν δέ, ἤδη γεραίτερος ὤν, καθ' ἡμέραν τὸ σῶμα ἀσκεῖ, τρέχει γὰρ καὶ νεῖ, διαβεβαιοῦται δὲ ὅτι φαρμάκοις ἐχρήσαντο οὐκ εἰδότες ὅ τι ποιοῦνται. νῦν δὲ οὗτοι οἱ ἀοιδοὶ τοῦτο ἐξαίφνης ἀγορεύουσι διότι φίλη αὐτῶν, ἡ ἀοιδὴ Ἄμυ Λευκοικία, φαρμάκοις χρῆται.

## Raul Castro succeeds his brother / Turkish army attacks PKK / India tests new nuclear missile

(26-02-08)

**Ὁ Ῥαοῦλ Κάστρω τῷ ἀδελφῷ διαδέχεται**

Ὁ στρατηγός τε καὶ ἀδελφὸς τοῦ Φιδῆλ Κάστρω τὴν ἀρχὴν νῦν ἐν τῇ Κούβῃ δέχεται, ὁ γὰρ Φιδῆλ ἤδη πολὺν χρόνον νοσεῖ καὶ ἄρχειν οὐκέτι ἔχει. ὁ μὲν νέος ἄρχων ἐνίας μεταβολὰς ἤγγειλεν, ὅμως δὲ αὗται αἱ μεταβολαὶ μικραὶ ἔσοιντο· παραδείγματος ἕνεκα, τὴν οἰκονομίαν μεταβάλλειν ἐν νῷ ἔχει τὸ κοινονισμὸν οὐ καταλείπων. κατὰ δὲ τὸν Ῥαοῦλ ὁ Φιδῆλ ἔτι ὁ τῆς νήσου ἄρχων ἐστίν, καίπερ ἐν νοσοκωμείῳ κεῖμενος. τὸ δὲ μέγιστον οἰκονομικὸν ἐν τῇ νήσῳ πρόβλημα τόδε ἐστίν· ἐν τῇ Κούβῃ δύο γένη νομισμάτων ἐστίν, τῷ μὲν οἱ τῆς νήσου πολῖται χρῶνται, τῷ δὲ οἱ ξένοι οἳ τῇ νήσῳ προσέρχονται, τούτῳ δὲ οἱ πολῖται ἀνίστανται, τὸ γὰρ δεύτερον νομισμάτων γένος πολλῷ τιμιώτερόν ἐστιν ἢ τὸ ἄλλο.

**Τὸ Τουρκὸν στράτευμα ἐπὶ τὸ ΠΚΚ μάχεται**

Κατὰ τὸν τοῦ Τουρκοῦ στρατεύματος φερέφωνον, ἑβδομήκοντα στασιῶται οἳ ὑπὲρ τοῦ ΠΚΚ ἐπὶ τὴν Τουρκίαν ἐμάχοντο ἀπέθανον. καὶ εἰ οἱ Τοῦρκοι τὸ βόρειον Ἰρᾶκ εἰσβαλόντες

ἐκεῖσε μυρίους στρατιώτας ἐπέπεμψεν, εἶπον οἱ ἐν τῇ Ἀγκάρᾳ ἄρχοντες ὅτι μόνῳ μὲν τῷ ΠΚΚ ἐπιθεῖσθαι βούλονται, οὐ δὴ τοῖς Ἰρακίοις πολίταις, οἱ δὲ στρατιῶται εἰς τὴν Τουρκίαν ὡς τάχιστα ἐπανελεύσοιντο, καὶ δὴ καὶ διαβεβαιοῦνται ὅτι πολλαὶ ἄλλαι χῶραι τούτῳ ὁμολογοῦσιν.

**Ἡ Ἰνδία νέον ἀτομικὸν πύραυλον πειρᾶται**

Τὸ τῆς Ἰνδίας στράτευμα νέον ἀτομικὸν πύραυλον ἀνέβαλε χθές· τοῦτο δὲ τὸ πῦραυλον δεῖ ἐκ τοῦ τῆς θαλάττης βάθους ἀναβάλλειν, ἀλλὰ τῷ Ἰνδικῷ στρατεύματι οὔκ ἐστιν τοῖον ὑποθαλάττιον σκάφος οἷον τοῦτο τὸ πύραυλον ἀναβάλλειν ἔχει, διὰ δὲ τοῦτο τὴν Ῥωσσίαν τοῖον ὑποθαλάττιον τοῦ Ἀκοῦλα γένους ᾔτησεν ἡ τῆς Ἰνδίας ἀρχὴ ἵνα ἐκ αὐτοῦ τὸ αὐτο ποιῶσιν· ἡ μὲν τοῦ πυραύλου φορὰ ἑπτακόσια χιλιόμετρά ἐστιν, τὸ δὲ Σαγαρῖκα καλοῦσιν.

## Scotland beats England / Kostunica resigns / Tutankamon arrives in Austria

(10-03-08)

**Ἡ Σκοτία τὴν Ἀγγλίαν νικᾷ**

Ἐν τῇ τῶν Ἑξ Χωρῶν ἁμίλλῃ ἡ Σκοτία τὴν Ἀγγλίαν ἐνίκησεν· ὁ μὲν ἀγὼν ἐν τῷ Ἐδιμβούργῳ, τῆς Σκοτίας πόλει, ἐγένετο, πολλοῦ δὲ ποιοῦνται οἱ τῆς Σκοτίας πολῖται ταύτην τὴν νίκην, διότι οὐ μόνον ἀθλητικὴν ἅμιλλαν ἀεὶ ἐπὶ τὴν Ἀγγλίαν ἔχουσιν ἀλλὰ καὶ πολιτικὴν ἅμιλλαν, πολλοὶ γὰρ τῆς Σκοτίας πολῖται ἀπὸ τῆς Ἀγγλίας ἀφίστασθαι βούλοιντο ἄν· ὅμως δὲ παρὰ τοῖς αὐτοῖς Σκότοις περὶ τούτου διαφοραί εἰσιν, οὐ γὰρ πάντες ἀφίστασθαι βούλονται. ὡς ἔοικεν οἱ θεαταὶ τὴν πολιτικὴν τέχνην τῇ ἀθλητικῇ ἁμίλλῃ ἀεὶ συμμειγνύασιν, οὐ μόνον ἐν τῇ Σκοτίᾳ· ἐν δὲ ἄλλῳ ἀγῶνι ἡ Γαλατία τὴν Ἰταλίαν ἐνίκησεν.

**Ὁ Κοστουνίκα τῆς ἀρχῆς ἀφίσταται**

Ὁ τῆς Σερβίας πρωθυπουργὸς Κοστουνίκα τῆς ἀρχῆς ἀπέστη, λέγει γὰρ ὅτι ἅτε τῶν τῆς ἀρχῆς μετεχόντων οὐκέτι ὁμολογούντων οὐκ ἔξεστι τῆς χώρας τῇ αὐτῇ πολιτείᾳ ἄρχειν, τὴν δὲ Βουλὴν κατέλυσεν. λέγει δὲ ὁ Κοστουνίκα ὅτι οἱ μὲν τῆς ἀρχῆς μετέχοντες οὐχ ἱκανῶς ἐπὶ τὴν τοῦ Κοσόβω αὐτονομίαν ἐμαχέσαντο, διὰ δὲ τοῦτο αὕτη ἡ τῆς Σερβίας χώρα

αὐτόνομος ἐγένετο, τῶν ξένων ἀρχόντων τοῦτο ἐπαινούντων· ὁ δὲ Κοστουνίκα οὐδαμῶς πολιτικὸς διάδοχος τοῦ Μιλοσέβικ ἦν, ὅμως δὲ περὶ τὰ τοῦ Κοσόβω τὸ αὐτὸ ἐνόμιζον οἱ δύο ἄρχοντες.

**Ὁ Τουταγκαμῶν εἰς τὴν Αὐστρίαν ἀφικνεῖται**

Ὁ ἐνδοξότατος Φαραὼ Τουταγκαμῶν, ὃν πολλὰ ἔτη τοσοῦτοι ἄνθρωποι ἐθαύμαζον ἐξ οὗ ὁ αὐτοῦ τάφος ὑπὸ τοῦ Κάρτηρι ἀκέραιος ἐξηυρέθη, ἐν τῇ Αἰγύπτῳ μένει, τὰ δὲ αὐτοῦ ἐν τῇ Αὐστρίᾳ ἀποδείκνυται· αὕτη ἡ ἀπόδειξις τὴν δίαιταν τὴν ἐκείνῳ τῷ χρόνῳ τοῖς θεαταῖς δείκνυσιν, ἀπὸ τῆς οἰκοδομέσεως τῆς τῶν πυραμίδων μέχρι τοῦ περὶ τοῦ Ἀκενατῶνος νεωτερισμοῦ, ὁ γὰρ Τουταγκαμῶν τὸ μονοθεισμὸν ἐν τῇ Αἰγύπτῳ κατέστησεν· καὶ δὴ καὶ ταύτῃ τῇ ἀποδείξει βούλονται οἱ συντάττοντες ἕλκειν οὐ μόνον τοὺς ἐν τῇ Αὐστρίᾳ οἰκοῦντας ἀλλὰ καὶ τοὺς τουριστὰς οἳ τούτου τοῦ ἐπερχομένου θέρους εἰς τὴν Αὐστρίαν ἀφίξονται τῆς Εὐρωπαικῆς ποδοσφαιρικῆς ἁμίλλης ἕνεκα.

## Last French soldier of WWI dies / Uprising in Tibet / Who killed Saint-Exupéry?
(16-03-08)

**Ὁ τελευταῖος τοῦ Πρώτου Παγκοσμίνου Πολέμου Γαλλικὸς στρατιώτης ἀποθνῄσκει**

Ὁ Λαζάρη Ποντικέλλι, ἤδη ἑκατὸν καὶ δέκα ἔτη γεγονώς, ἀπέθανεν ἐν τῷ Παρίδι. ὁ μὲν Ποντικέλλι, ἐν τῇ Ἰταλίᾳ γεγονώς, εἰς τὴν Γαλατίαν ἔτι παῖς ὢν ἀφίκετο (ἐννέα ἔτη γεγονὼς τότε), ἔπειτα δὲ τῷ Γαλλικῷ στρατεύματι ἐστρατεύσατο, τοῦ Πρώτου Παγκοσμίου Πολέμου ἤδη ἀρχομένου. οἱ μὲν ἄλλοι ἐν τούτῳ τῷ πολέμῳ μαχεσάμενοι Γάλαται ἤδη πάντες ἀπέθανον, μόνος δὲ ὁ Ποντικέλλι ἔμενεν. λέγει δὲ ὁ Σαρκῶζι, ὁ τῆς Γαλατίς πρόεδρος, ὅτι τῶν ἐπιγιγνομένων ἡμερῶν τιμὴν ποιήσουσι πᾶσι τοῖς τότε μαχεσάμενοις. ἐν δὲ τῇ Ἀμερικῇ ἔτι καὶ νῦν μένουσιν ἐγγὺς τριάκοντα ἄνθρωποι οἳ ἐν ἐκείνῳ τῷ πολέμῳ ἐμαχέσαντο.

**Ἐπανάστασις ἐν τῷ Τίβητ**

Οἱ τοῦ Τίβητ πολῖται τῇ Σίνῃ ἐπανέστησαν, πολλοὶ δὲ τούτων τῶν πολιτῶν ἀπέθανον, ὅμως δὲ οὐδεὶς οἶδα ἀκριβῶς ὁπόσοι, οἱ μὲν γὰρ τῆς Σινικῆς ἀρχῆς φερέφωνοι λέγουσιν ὅτι δέκα ἄνθρωποι ἀπέθανον, ἄλλοι δὲ διαβεβαιοῦνται ὅτι ἑκατόν· πάλαι μὲν οἱ Τιβητανοὶ τῇ Σινικῇ εἰσβολῇ ἐπανίστανται, νῦν δὲ τὸ αὐτὸ αὖθις ἐγένετο, βιαίτερον δέ· τὰ νῦν πράγματα ἤρξατο τῶν Σινικῶν φυλάκων τρία ἱερὰ πολιορκησάντων. τῶν δὲ Ὀλυμπίων ἐν τῷ Βεΐζιν τοῦ ἐπιγιγνομένου θέρους γενησομένων, ἡ Σινικὴ ἀρχὴ ἀποδεικνύναι πειρᾷ ὅτι πάντα ἐν τῇ Σίνῃ ἡσυχαῖά ἐστιν καὶ ὅτι οἱ πολῖται τὴν ἀρχὴν εὖ δέχονται.

**Τίς τὸν Σαῖντ-Ἐξουπέρι ἀπέκτεινεν;**

Ὁ Ῥίπερτ, Γερμανικὸς ἄνθρωπος ἤδη ὀκτὼ καὶ ὀγδοήκοντα ἔτη γεγομώς, λέγει ὅτι αὐτὸς τῷ ἀεροσκάφει ἐπέθετο ὃ ὁ Σαῖντ-Ἐξουπέρι ἐκυβέρνα. οὗτος ὁ Γαλλικὸς ἀεροκυβερνήτης τὴν ἐνδοξοτάτην βίβλον "ὁ νέος ἄναξ" ἔγραψε· ἐν μὲν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ ὁ Γαλλικὸς συγγραφεὺς ἐν τῇ Κύρνῳ νήσῳ ἦν, ἐδέησε δὲ αὐτὸν εἰς τὸ ἀεροσκάφος εἰσβαίνειν ἵνα ἐπίταγμα ποιοίη, τὴν δὲ νῆσον καταλιπὼν οὐκέτι ἐπανῆλθεν, ὁ δὲ Γερμανικὸς ἀεροκυβερνήτης, τὸ Γαλλικὸν ἀεροσκάφος ἰδών, ἐδίωξέ τε καὶ ἐπέθετο.

## Will they raise buildings in Venice? / Elections in Taiwan / The Old Christians beat Madras

(23-03-08)

**Ἆρα τὰς ἐν τῇ Βενετίᾳ οἰκίας ἀροῦνται;**

Ἡ θάλαττα κατ᾽ ἐνιαυτὸν εἰς ταύτην τὴν καλλίστην πόλιν εἰσρεῖ, πάντες δὲ ἴσασιν ὅτι ἡ τοῦ Ἁγίου Μάρκου ἀγορὰ πολλάκις οὐκ ἀγορά ἐστιν, λίμνη δέ· ἀλλὰ τὸ πρόβλημα οὐ μὲν τοῦτό ἐστιν, τόδε δέ· τὸ τῆς θαλάττης ὕδωρ, πολὺ ἁλὸς ἔχον, τοὺς τῶν οἰκιῶν τοίχους διαφθείρει· τῶν δὲ οἰκιῶν ἐν κινδύνῳ οὐσῶν ἔνιαι κάλλισταί τε καὶ τιμιώταταί εἰσιν, ἀρχαιόταταί τε καὶ ἱστωρικαὶ οὖσαι, οἷον τὸ των Καμαρλέγγων βασίλειον· τούτων δὲ οὕτως ἐχόντων, οἱ ἐν τέλει ἐν νῷ ἔχουσι τούτων τῶν ἐνδοξοτάτων οἰκιῶν ἐνίας αἴρειν, τοῦτο δὲ μηχανῇ, ἱδραυλικῷ συστήματι, χρώμενοι πράττειν βούλονται· ὅμως δὲ ἀπρέπεια κεῖται, τὸ γὰρ σύστημα τιμιώτατόν ἐστιν.

**Ἀρχαιρεσίαι ἐν τῷ Ταιουᾶν**

Οἱ τοῦ Ταιουᾶν πολῖται ἀρχαιρεσίας ἐποιήσαντο, ἐδέησε γὰρ αἱρεῖσθαι εἴτε τοὺς ἤδη ὀκτὼ ἔτη ἐν τῇ ἀρχῇ ὄντας καὶ παντελῶς οὐκ ἐθέλοντας τῇ Σίνῃ διαλέγεσθαι εἴτε τοὺς τοῦ Κουωμιντάγγ (Κ.), τῇ Σίνῃ διαλέγεσθαί τε καὶ πρεσβεύειν ἐθέλοντας, οἱ δὲ πολῖται τὸ Κ. εἵλοντο· λέγεται δὲ ὅτι οἱ ταῦτα τὰ ὀκτὼ ἔτη τῆς χώρας ἀρξάμενοι οὕτως χαλεπῶς ἔπραξαν ὥστε οἱ πολῖται ὑπὲρ τοῦ Κ. ἐψηφίσαντο μᾶλλον τὴν νῦν ἀρχὴν κολάζειν βουλόμενοι ἢ τὸ Κ. εὐεργετεῖν. ὅμως δὲ διαβεβαιοῦται ὁ νέος ἄρχων ὅτι οὐκ ἐν νῷ ἔχει περὶ τῆς τοῦ Ταιουᾶν αὐτονομίας τῇ Σίνῃ λόγους προσφέρειν, μόνον δὲ πολιτικά τε καὶ οἰκονομικὰ συνθήματα συγγράφειν.

**Οἱ "Ἀρχαῖοι Χριστιανοὶ" τὸ Μαδρᾶς (τοῦ Ἁγίου Ἀνδρέαντος) νικῶσιν**

Οἱ "Ἀρχαῖοι Χριστιανοί", ἐνδοξοτάτη ῥουγβιστικὴ ἀγέλη τῆς Οὐρουγουαίας, τὴν ἀγελην Μαδρᾶς καλουμένην ἐνίκησαν· αἱ μὲν δύο ἀγέλαι οὐχ ὅμοιαι ἦσαν, οἱ μὲν γὰρ Ἀρχαῖοι Χριστιανοὶ βελτίστη τῆς Οὐρουγουαίας ἀγέλη εἰσίν, ἐν δὲ τῇ Ἀμερικῇ μόνον αἱ τῆς Ἀργεντίνης ἀγέλαι βελτιονές εἰσιν, τὸ δὲ Μαδρᾶς, ἡ ἡμετέρα ἀγέλη, μικρὰ ἀγέλη ἐστίν· ἐγὼ δὲ αὐτὸς ἠγωνισάμην καὶ τὴν κεφαλὴν ἐτρώθην, αἷμα δὲ ἐξερρύη, ὅμως δὲ ἔτι καὶ νῦν ζῶ. οἱ δὲ Ἀρχαῖοι Χριστιανοὶ ἐν τῇ Εὐρώπῃ εἰσίν, ἔδοξε γὰρ αὐτοῖς ἐνίους ἀγῶνας ἐνθάδε ἀγωνίζειν.

## Olympic torch in daily danger / Bush and Putin speak but disagree / Berlusconi wants Ronaldinho

(10-04-08)

**Ἡ Ὀλυμπικὴ λαμπὰς καθ᾽ ἡμέραν κινδυνεύει**

Ἡ Ὀλυμπικὴ λαμπάς, τὸ πάλαι σύμβολον τῆς τῶν λαῶν φιλίας, σύμβολον τῆς πολιτικῆς ἁμίλλης ἐγένετο νῦν· τῆς μὲν γὰρ Σίνης εἰς τὸ Τίβετ ἤδη πάλαι εἰσβαλούσης καὶ νῦν ἐπὶ τοὺς ἐκεῖ ἀνθισταμένους ἐπιτιθεμένης, οἱ πολῖται οἱ πολλῶν πόλεων ἐπὶ τοῦτο ἀνθίστανται,

δέον δὲ τὴν λαμπάδα περὶ τοῦ κόσμου φέρειν, ἐν πολλαῖς πόλεσιν ἐπείρασαν τήν τε λαμπάδα κλέψαι καὶ τὸ πῦρ σβεννύναι. ἐν μὲν τῷ Λονδινίῳ ἐδέησε τοὺς φύλακας περὶ τὴν λαμπάδα μένειν ὡς τοὺς αὐτὴν λαμβάνειν πειρῶντας ἀμυνοῦντες, ἐν δὲ τῷ Παρίδι οὐ μόνον τὸ αὐτὸ ἐγένετο ἀλλὰ καὶ ἐδέησε τὴν λαμπάδα εἰς ἅμαξάν τινα εἰσφέρειν, καὶ ἐν τῷ Ἁγίῳ Φρανκίσκῳ αὖθις τὸ αὐτὸ ἐξῆν ἰδεῖν.

**Ὁ Βοῦξ καὶ ὁ Ποῦτιν διαλέγονται μέν, διαφέρουσι δέ**

Οἱ δύο πρόεδροι ἐν τῇ πόλει Σόκι διαλεγόμενοι τὰς διαφορὰς διαλύειν πειρῶσιν, ὁ γὰρ Βοῦξ ἀντιπυραυλικὸν σύστημα (ἀντιπυραυλικὴ ἀσπὶς καλούμενον) ἐν τῇ τε Πολονίᾳ καὶ τῇ Σηκίᾳ καταθεῖναι βούλεται, ὁ δὲ Ποῦτιν, τὴν ἀρχαίαν τῆς Ῥωσσίας δύναμιν πάλιν φύεσθαι βουλόμενος, οὐχ ὁμολογεῖται. ὅμως δὲ συνθήκην ἐγράψαντο ἄμφω ἐν ᾗ λέγουσιν ὅτι τοῦ Ψυχροῦ Πολέμου ἤδη τελευτήσαντος δεῖ νῦν τὰς ἀτομικὰς σκευοθήκας μειοῦν. περὶ δὲ τὸ Ἰρᾶν εἶπον ἄμφω ὅτι δέοι ταύτην τὴν χώραν τῇ ἀτομικῇ δυνάμει μόνον εἰρενικῶς χρῆσθαι.

**Ὁ Βερλουσκόνι τὸν Ῥοναλδίνιον  μισθοῦσθαι βούλεται**

Ὁ Σίλβιος Βερλουσκόνι, πρόεδρος τῆς ποδοσφαιρικῆς ἑταιρείας Α. Κ. Μίλαν, ἐν νῷ ἔχει τὸν (πάλαι) ἔνδοξον ποδοσφαιριστὴν Ῥοναλδίνιον, ὃς ἐν τῇ Βαρκελόνῃ "ἀγωνίζεται" (ἀληθῶς δὴ οὐδὲν ποιεῖ), μισθοῦσθαι, εἶπε δὲ ὅτι ποιήσοιτο ἅττα δέοι ἵνα αὐτὸν κτήσαιτο· ἐν τῇ Μίλαν πολλοὶ ἄλλοι Βρασιλιανοι ποδοσφαιρισταὶ ἀγωνίζονται, ὡς ὁ ἐνδοξότατος Κακά, ὁ δὲ Ῥοναλδίνιος ἐκεῖ ὡς οἴκοι ἦν ἄν. ἆρα τί λέγουσιν οἱ τῆς Βαρκελόνης θεαταί; τοῦτο γελοῖόν ἐστιν, λέγουσιν γὰρ ὅτι οὐ δεῖ τὸν Βερλουσκόνι χρήματα τῇ Βαρκελόνῃ δοῦναι, αὐτοὶ γὰρ χρήματα δοῦναι ἐθέλουσιν εἴ τις τοῦτον τὸν ἀργὸν ἄνθρωπον ὡς πορρωτάτω λαμβάνει.

## Anonymous millionaire gives fortune to zoo park / Satyric imitation of Wall Street Journal / No more Japanese troops to Iraq

(17-04-08)

**Ἀνονυμὸς πλουσιώτατός τις πολλὰ χρήματα τῷ ζῳολογικῷ παραδείσῳ δίδωσιν**

᾿Αμερικανὸς ἀνήρ τις πέντε καὶ ἐνενήκοντα ἔτη γεγονὼς ἄρτι ἀπέθανε καὶ δύο ἑκατομμιρία δολάρων ἔδωκε τῷ ζῳολογικῷ τῷ ἐν τῷ Μιάμι μόνον τόδε ἐπιστέλλων, ὅτι οὐδέποτε οὐδεὶς γιγνώσκειν δύναιτο ὅστις ἐστίν. ὁ δὲ τοῦ θῳολογικοῦ παραδείσου ἄρχων εἶπεν ὅτι οὗτος ὁ ἀνήρ, ὃν αὐτὸς ἤδη πάλαι ἔγνω, τὸ μὲν πρότερον ἤδη πολλὰ χρήματα πρὸ τοῦ ἐδεδώκει, νῦν δὲ πλεῖστα· οὗτος ὁ ἀνὴρ ἀεὶ ἐν τῷ ζῳολογικῷ περιεπάτει, αὐτῷ δὲ ἁπλοῦν αὐτοκίνητον ἦν. τῷ δὲ ἄρχοντι ἐρωτῶντι διὰ τί τὰ χρήματα ἑαυτῷ οὐκ ἀναλίσκοι ἀπεκρίνατο ὁ γέρων ὅτι εἰ οἱ ἄλλοι νομίζουσί σε πένητα εἶναι, τότε ἔξεστι αὐτοὺς ἀληθῶς γιγνώσκειν. νῦν δὲ ὁ ἄρχων οἰκοδομήσει τούτοις τοῖς χρήμασι ἀμφιθέατρον τοῖς παισὶν οἳ εἰς τὸν παράδεισον φοιτῶσιν.

**Σατυρικὸν μίμημα τῆς Τείχους ῾Αγυίας Δημοσιογραφίας**

Καίπερ τῆς ᾿Αμερικανῆς οἰκονομίας νῦν οὐκ ἀκμαζούσης, οἱ πολῖται νέαν δημοσιογραφίαν ὠνεῖσθαι δύνανται, αὕτη δὲ ἡ νέα δημοσιογραφία ἔοικε τῇ Τείχους ῾Αγυίας Δημοσιογραφίᾳ, ὅμως δὲ γελοῖόν ἐστιν, τὰ γὰρ αὐτὰ γενομένα ἃ ἡ ΤΑΔ ἐξηγεῖται ὡς σπουδαιώτατα, τὰ αὐτὰ ἡ νέα δημοσιογραφία ὡς γελοιότατα ἐξηγεῖται· τί δὲ ἔξεστιν ἐκεῖ ἀναγιγνώσκειν; λέγει ὁ ἐκεῖ γράφων οἷον ὅτι ὁ μὲν Βοῦιξ τοῖς ᾿Αμερικανοῖς πολῖταις ἀποθνῄσκειν ἀπαγορεύει καὶ τοὺς φόρους (τοὺς δασμούς), τὸ δὲ τῆς ᾿Ελευθερίας ῎Αγαλμα οἱ Σαουδίες ὠνήσονται, ὁ δὲ τῆς Νέας ᾿Ιώρκης ἄρχων τοὺς πολίτας ἐγκαλεῖ ἵνα αὐτοῖς λέγῃ ὅτι οὐδὲν δεῖ λέγειν, κτλ. καὶ δὲ περὶ τοῦ Οβάμα γελάσματα πολλὰ ἔνεστιν.

**Οὐκέτι ᾿Ιαπονικοὶ στρατιῶται εἰς τὸ ᾿Ιρᾶκ πεμφθήσονται**

Οἱ ᾿Ιαπονικοὶ δικασταὶ λέγουσιν ὅτι δεῖ ταύτην τὴν χώραν στρατιώτας εἰς τὸ ᾿Ιρᾶκ μὴ πέμπειν, διαβεβαιοῦνται γὰρ ὅτι τοῦτο πράττειν παρὰ τὴν πολιτείαν καὶ παρὰ τοὺς νόμους ἐστίν, κατὰ γὰρ τὴν ᾿Ιαπονικὴν πολιτείαν οὐκ ἔξεστι ταύτῃ τῇ χώρᾳ πολέμου μετέχειν. ἐκ μὲν τοῦ Δευτέρου Παγκοσμίου Πολέμου οὐδεῖς ᾿Ιαπονικὸς στρατιώτης ἐκ τῆς ἑαυτοῦ χώρας ἐξῄει, ὅμως δὲ τῷ πρωθυπουργῷ Κοιζοῦμι ἔδοξεν ἐνίους εἰς τὸ ᾿Ιρᾶκ πέμπειν.

## Hillary beats Obama in Pennsylvania / 7 people arrested because of olympic torch / The oldest paintings are in Afghanistan

(24-04-08)

**Ἡ Ἵλλαρι ἐν τῇ Πεννσιλβανίᾳ τὸν Ὀβάμα νικᾷ**

Ἥ τε Ἵλλαρι Κλίντων καὶ ὁ Βᾶρακ Ὀβάμα ὑπὲρ τῆς ἀρχῆς κάμνουσι καίπερ ἄμφω ἐν τῇ αὐτῇ πολιτικῇ ἑταιρείᾳ ὄντες, οὐκέτι δὲ οἶδε ὅστις γενήσεται ἄρχων τῆς δημοκρατικῆς ἑταιρείας ἵνα ἐν ταῖς ἐπιγιγνομέναις ἀρχαιρεσίαις πρόεδρων τῶν ΗΑΠ γενέσθαι πειρᾷ· ἐν δὲ τῇ Πεννσιλβανίᾳ ἡ τοῦ Κλίντονος γύνη ὀλίγῳ ἐνίκησε, ὅμως δὲ δεῖ τοὺς τῆς δημοκρατικῆς ἑταιρείας κοινωνοὺς ἔτι ἐν ἐννέα τῶν ΗΑΠ χωρῶν ἑλέσθαι πρὶν εἴτε τὸν νικῶντα εἴτε τὴν νικῶσαν γνῶναι· ἀλλὰ οὐ πάντα ῥᾴδιον, λέγεται γὰρ ὅτι ἡ Ἵλλαρι κινδυνεύει, πολλὰ χρήματα ἀναλώσασα, διὰ δὲ τοῦτο τοὺς ἑαυτῆς ψηφίζοντας ᾔτησεν οἷ χρήματα δοῦναι.

**Ἕπτα ἄνθρωποι ἐν φυλακῇ ἔχονται διὰ τὴν Ὁλυμπικὴν λαμπάδα**

Ἡ Ὀλυμπικὴ λαμπὰς εἰς τὴν Αὐστραλίαν ἀφίκετο, οἱ δὲ ἐπὶ τὴν Σινικὴν ἀρχὴν ἀνθιστάμενοι αὖθις τὸ αὐτὸ ποιοῦσιν καὶ ἐν ταῖς ἄλλαις χώραις διὰ ὧν ἡ λαμπὰς ἠνέχθη· εἰς δὲ τὴν πόλιν Κανβέρραν πολλοὶ διαδηλῶτοι συνελθόντες τοῖς τὴν λαμπάδα φέρουσιν μάχεσθαι ἐπείρασαν, ὅμως δὲ οἱ Σινικοὶ πολῖται οἳ ἐν τῇ Αὐστραλίᾳ οἰκοῦσι εἰς τὴν αὐτὴν πόλιν ἀθροισμένοι τοῖς ὑπὲρ τοῦ Τιβῆτ διαδηλοῦσιν ἠντίασαν· οἱ δὲ φύλακες ἑπτὰ τῶν ὑπὲρ του Τιβῆτ διαδηλούντων συνέλαβον καὶ νῦν ἐν φυλακῇ ἔχουσιν, ἡ γὰρ τῆς Αὐστραλίας ἀρχὴ οὐκ ἐθέλει τὸ αὐτὸ καὶ ἐν τῇ Ἀγγλίᾳ γενέσθαι.

**Αἱ ἀρχαιόταται ἐλαιόβροχοι ζωγραφίαι ἐν τῷ Ἀφγανιστᾶν εἰσιν**

Ἐν τῷ Ἀφγανιστᾶν ἀρχαιοτάτας τε καὶ τιμιωτάτας ζωγραφίας ἐξηῦρον ἐν σπηλαίοις τισὶν ἃ ἐγγὺς τοὺς δύοιν μεγάλων ἀγαλμάτων ὑπὸ τῶν ταλιβάνων διαφθειραμένων κεῖται, αὗται δὲ αἱ ζωγραφίαι θαυμασταί εἰσιν ἅτε ἐλαιόβροχοὶ οὖσαι· κατὰ δὲ τοὺς ἐπιστήμονας ταύτας τὰς ζωγραφίας ἐποιοῦντο ζωγράφοι πορευόμενοι διὰ τῆς ὁδοῦ τῆς καλουμένης "τοῦ Μεταξοτου Ὁδοῦ "· τῶν δὴ ταλιβάνων τὰ ἀγάλματα διαφθειράντων ἅτε οὐ κατὰ τὸν ἰσλαμικὸν νόμον ὄντα, ἐξῆν τότε πρῶτον μὲν τὰ σπήλαια εὑρεῖν, ἔπειτα δὲ τὰς ζωγραφίας.

## English football fans heading to Moscow / Horrible discovery in Austria / Tempelhof Airport dies

(01-05-08)

**Οἱ Ἀγγλικοὶ ποδοσφαῖραν φιλοῦντες πρὸς τὴν Μοσκβὰν προσελεύσονται**

Τό τε Σιέλση καὶ τὸ Μάνσιεστερ ἐν τῇ Μοσκβῇ ἀγωνίσονται τὴν Εὐρωπαίην Κύλικα κτᾶσθαι πειρῶντες· νῦν δὲ τὸ πρῶτον δύο Ἀγγλικαὶ ἑταιρείαι εἰς τὸν τελευταῖον ἀγῶνα ἀφίκοντο, ἡ οὖν βελτίστη Εὐρωπαία ἑταιρεία τούτου τοῦ ἔτους Ἀγγλικὴ ἔσται. δεῖ δὲ νῦν τοὺς πρὸς τὴν Μοσκβὰν πορεύεσθαι βουλομένους τὴν πορείαν ἑτοιμάζειν, οὐ γὰρ ῥᾴδιόν ἐστιν ἐξουσίαν λαμβάνειν τῷ εἰς τὴν Ῥωσσίαν εἰσελθεῖν. ὅμως δὲ εἶπον οἱ τῆς Ῥωσσικῆς ἀρχῆς φερέφωνοι ὅτι πάντα ποιητέα ἔσοιτο ἵνα ὡς ῥᾷστα αἱ ἐξουσίαι τοσούτοις ἀνθρώποις δοθῶσιν· μέμνησθαι δεῖ ὅτι, τοῦ Λιτβινέγκω ἀποθανόντος, ἡ Βρεττανικὴ ἀρχὴ καὶ ἡ Ῥωσσικὴ εἰς ἔχθραν κατέστησαν.

**Φρικῶδες εὕρημα ἐν τῇ Αὐστρίᾳ**

Ἄνθρωπός τις τὴν ἑαυτοῦ θυγατέρα, τότε ὀκτωκαίδεκα ἔτη γεγωνυῖαν, ἀποθεὶς καὶ εἰς ὑπογεῖον καταβαλὼν ἐκεῖ κατεῖχεν εἴκοσι καὶ τέτταρα ἔτη καὶ βίᾳ πολλάκις ᾔσχυνεν. τρεῖς μὲν παῖδας ἐκεῖ γενομένους καὶ κατεῖχεν, οὐδέποτε δὲ εἴασεν αὐτοὺς ἔξω τῆς ὑπογείου οἰκίας ἐξελθεῖν. τῶν δὲ φυλακῶν ταῦτα εὑρόντων, πάντες οἱ γείτονες ὡμολόγησαν οὐδὲν οὐδέποτε εἰδότες. ὁ μὲν ἄνθρωπος κεῖται νῦν ἐν δεσμωτηρίῳ, ἡ δὲ ἐλευθερώσασα γύνη καὶ οἱ παῖδες ἐν νοσοκωμείῳ. χρῆ δὲ νῦν τοῦτον δικάζειν καὶ τοὺς ἄλλους ὡς τάχιστα εἰς τὴν οἰκουμένην πάλιν ἁρμόττειν.

**Τὸ ἀεροδρόμον Τέμπελχοφ ἀποθνῄσκει**

Τὸ ἀεροδρόμον Τέμπελχοφ ἀρχαιώτατόν ἐστι καὶ ἐν τῷ μέσῳ τῆς πόλεως κεῖται, καὶ δὴ καὶ οὐ πολλὰ ἀεροσκάφη αὐτῷ χρῶνται, διὰ δὲ ταῦτα τῇ Γερμανικῇ ἀρχῇ ἔδοξε αὐτὸ ἀφανίζειν. ἀλλὰ τοῦτο τὸ ἀεροδρόμον ἐνδοξότατον ἐγένετο μετὰ τὸν Δευτέρον Παγκόσμιον Πόλεμον, τοῦ Στᾶλιν τὴν πόλιν Βερλῖν πολιορκοῦντος, οἱ γὰρ Ἀμερικανοὶ καὶ οἱ σύμμαχοι σῖτόν τε καὶ τὰ ἐπιτήδεια ἀεροσκάφεσι πρὸς τὸ Τέμπελχοφ συνεχῶς προσέφερον.

## Hezbollah takes control of western Beirut / Russia rolls out tanks for soviet-style parade / Myanmar aid seized

(09-05-08)

**Τὸ Ἑθβολλὰ τοῦ ἑσπερίου Βειροῦτ κρατεῖ**

Ἐν τῷ Βειροῦτ ἑκατομμυρία ἀνθρώπων οἰκοῦσιν· ἐν δὲ ταύτῃ τῇ πόλει οἱ σιίται τρεῖς ἡμέρας μαχεσάμενοι τὸ μουσουλμανικὸν τῆς πόλεως μέρος, τὸ ἑσπέριον μέρος, ἤδη κατέχουσιν· ἕνδεκα μὲν ἄνθρωποι ἀπέθανον, τριάκοντα δὲ ἄλλοι ἐβλήθησαν. καίπερ τῶν σιίτων τὴν τοῦ προέδρου οἰκίαν προσκαθεζομένων, τὸ στράτευμα οὐδὲν ποιεῖ, μένει γάρ· καὶ δὴ καὶτὸ τῆς πόλεως ἀεροδρόμον καὶ ὁ λιμὴν κεκλεισμένα μένουσιν, οὐδὲ ἔξεστι ταῖς ὁδοῖς ἐκεῖσε φερούσαις χρῆσθαι. λέγουσι δὲ οἱ φερέφωνοι ὅτι ἐν ταῖς ἀγυίαις οὐκέτι μάχονται, ὅμως δὲ οὐκέτι οἶδε διὰ τί ὁ πρόεδρος τὸ στράτευμα μάχεσθαι οὐ κελεύει.

**Ἡ Ῥωσσία τὰ ἅρματα ἐπιδείκνυσι ἐν ἐξετάσει τῷ σοβιετικῷ τρόπῳ**

Ὁ Ποῦτιν τὴν ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ νίκην ἐκώμασε τὸ στράτευμα τοῖς πολίταις ἐπιδεικνύς, οὐ μόνον τὰ ἅρματα ἀλλὰ καὶ τὰ ἀτομικὰ πύραυλα· πάλαι δέ, τῆς Σοβιετικῆς Συνωμοσίας ἔτι οὔσης, τὸ αὐτὸ ἰδεῖν ἐξῆν, ἐκ δὲ οὗ ἡ ΣΣ ἐτελεύτησε αὗται αἱ ἐξετάσεις ἀφανεῖς ἐγένοντο. ὅμως δὲ ὁ Ποῦτιν, τὴν ἀρχαίαν σοβιετικὴν ἀρχὴν πάλιν ἀνακτᾶσθαι ἐν νῷ ἔχων, τοιαύτην ἐξέτασιν τῇ οἰκουμένῃ ὡς φανερώτατα ἐπέδειξεν· ἴσως πειρᾷ νέον τι ἀγγέλειν;

**Τὸ τῷ Μυανμᾶρ ὠφέλημα ἁρπάζουσιν**

Θυέλλης μεγίστης ἐν τῷ Μυανμᾶρ γενομένης καὶ πολλῶν ἀνθρώπων ἀποθανόντων, ταῖς ἄλλαις χώραις ἔδοξε ὠφέλημα (φάρμακά τε καὶ σῖτον) ἐκεῖ πέμψαι· ὅμως δὲ λέγουσι νῦν οἱ τῶν ἄλλων χωρῶν φερέφωνοι ὅτι οἱ ἐν τέλει τὸ ὠφέλημα ἥρπασαν, ἔδοξε οὖν οὐδὲν ἄλλο ὠφέλημα πέμψαι· οὐδὲ μόνον τοῦτο, τοὺς γὰρ ξένους οἱ ἐν τέλει οὐκ ἐῶσιν εἰς τὸ Μυανμᾶρ εἰσελθεῖν, οὐδεμίαν πρόφασιν ἢ αἰτίαν λέγοντες. οἱ τεθνεότες ἐν ταῖς ὁδοῖς κεῖνται, κατὰ

δὲ τοὺς ἐκεῖ νόμους δεῖ τὰ σώματα καίειν, ὅπερ νῦν ποιεῖν οὐκ ἔξεστιν, νόσοι δὲ γενήσονται ἐὰν τὰ σώματα οὐκ θάπτωσιν.

## Irene Sandler has died / Earthquake in China / Tottenham wants Eto'o

(16-05-08)

**Ἡ Εἰρήνη Σένδληρ ἀποθνῄσκει**

Ἡ Εἰρήνη Σένδληρ, ἣ πολλάκις ἐκινδύνευε ἵνα πολλοὺς ἰουδαίους παῖδας ἐν τῇ Βαρσοβίᾳ σώσειεν, ἀπέθανεν ἐν ταύτῃ τῇ πόλει ἐνενήκοντα καὶ ὀκτὼ ἔτη γεγονυῖα· τοῦ Δευτέρου Παγκοσμίου Πολέμου ἀρξαμένου, ἡ Ε.Σ. τοῖς Γερμάνοις ἀντέστη, πολλοὺς δὲ ἰουδαίους παῖδας οὓς οἱ Γερμάνοι εἰς τὸν ἰουδαῖον δῆμον (γέττω καλούμενον) καθεῖρξαν ἐκ τούτου τοῦ δήμου πᾶσι τρόποις χρωμένη ἐξελάμβανεν, αὐτοὺς δὲ ἐν ἱεροῖς κατέκρυψεν ὅπως οἱ Γερμάνοι μὴ εὕροιεν. ὑπὸ δὲ τῶν Γερμάνων ληφθεῖσα, ἐκ τοῦ δεσμωτηρίου κατέφυγεν.

**Σεισμὸς ἐν τῇ Σίνῃ**

Πλείονες ἢ μύριοι ἄνθρωποι ἀπέθανον ἐν τῇ Σίνῃ σεισμοῦ γενομένου· οὕτως δὲ δεινὸς ἐγένετο ὁ σεισμὸς ὥστε ἐξῆν αἰσθάνεσθαι ἐν πόλεσι τρία χίλια χιλιομέτρα ἀπεχούσαις. τὸ μὲν ἐπικέντρον ἐν τῷ δήμῳ Βειχουᾶν καλουμένῳ ἐγένετο, ἐκεῖ δὲ πλεῖστοι ἀπέθανον· ἐν δὲ πόλει τινὶ ἐγγὺς τοῦ ἐπικέντρου κειμένης τὸ διδασκαλείου τινὸς ἔδαφος κατέπεσεν, πολλοὶ δὲ μαθηταὶ ἐκεῖ παρόντες ἀπέθανον· ἡ μὲν ἀρχὴ τὸ στράτευμα καὶ ἰατροὺς ὡς τάχιστα ἐκεῖσε προσέπεμψεν ἵνα τοὺς βληθέντας ὠφελήσειαν, ὅμως δὲ δεῖ τοὺς ἰατροὺς ἐν ταῖς ἀγυίαις ἐργάζεσθαι, τὰ γὰρ νοσοκωμεῖα καὶ τῷ σεισμῷ διεφθάρησαν.

**Τὸ Τόττεγχαμ τὸν Ἐτώο μισθοῦν βούλεται**

Τὸ Τόττεγχαμ τὸν ποδοσφαιριστὴν Σαμουῆλ Ἐτώο, ὃς νῦν ἐν τῇ Βαρκελόνῃ ἐργάζεται, μισθοῦν βούλεται, ὁ δὲ τῆς Βρεττανικῆς ἑταιρείας πρόεδρος εἰς τὴν Καταλανὴν πόλιν δι' ὀλίγου ἐλεύσεται ἵνα τῷ τῆς Βαρκελόνης προέδρῳ πράττῃ, ὁ μὲν γὰρ τῆς Β. πρόεδρος τῷ Ἐτώο ἤδη εἶπεν ὅτι δεῖ αὐτὸν ἐξελθεῖν καὶ τὴν Β. καταλιπεῖν, τὸ δὲ Μῖλαν καὶ τὸν Ἐτώο

βούλεται. ἆρα διὰ τί ἡ Β. τοῦτον τὸν ἄριστον ποδοσφαιριστὴν οὐκέτι κατέχειν βούλεται; οὐδεὶς τὴν ἀπόκρισιν οἶδεν· ὁ δὲ Ῥωναλδίνιω ἔτι ἐν τῇ Βαρκελόνῃ μένει, οὕτω γὰρ ῥᾴθυμός ἐστιν ὥστε οὐδεὶς αὐτὸν μισθοῦν βούλεται.

## Myanmar government accepts help / Italy to build nuclear plants again / Xenophobic uprise in Johannesburg

(23-05-08)

**Ἡ τοῦ Μύανμαρ ἀρχὴ τὴν ὠφελείαν δέχεται**

Ἤδη τὴν εἰκοστὴν ἡμέραν μεγίστη θύελλα τὸ Μύανμαρ διέφθειρεν, ἑβδομήκοντα δὲ καὶ ὀκτὼ χίλιοι ἄνθρωποι ἀπέθανον καὶ πεντήκοντα καὶ ἓξ χίλιοι ἄλλοι οὐδεὶς οἶδεν ὅπου εἰσίν, ἴσως δὲ καὶ οὗτοι ἀπέθανον. καίπερ δὲ τούτων οὕτω χαλεπῶς ἐχόντων, οἱ τῆς χώρας ἄρχοντες τοὺς ξένους ὠφέλειαν φέροντας εἰς τὴν χώραν εἰσελθεῖν οὐκ εἴων· ὁ μὲν πρωτάρχων, ὁ στρατηγὸς Θᾶν Σουή, ἑβδομήκοντα καὶ ἓξ ἔτη γεγονώς, τῆς συμφορᾶς ἤδη γενομένης οὐδὲν ἐποίησεν, οἱ δὲ αὐτῷ συνάρχοντες τοὺς ξένους ὠφελεῖν βουλομένους εἰσελθεῖν μὲν οὐκ εἴασαν, τὸ δὲ πεμφθὲν ἐδέξαντό τε καὶ ἐν ταῖς ἀγοραῖς ἐπώλησαν. τέλος δὲ αὐτοὺς εἰσελθεῖν εἴασαν χθές.

**Ἐν τῇ Ἰταλίᾳ πάλιν ἀτομικᾶς ἐγκαταστάσεις οἰκοδομήσουσιν**

Πάλαι οἱ τῆς Ἰταλίας πολῖται ἐψηφίσαντο οὐ μόνον νέας ἀτομικᾶς ἐγκαταστάσεις μὴ οἰκοδομεῖν ἀλλὰ καὶ τὰς ἤδη οὔσας κλεῖσαι, τότε γὰρ ἔλεγον πολλοὶ ὅτι αὗται αἱ ἐγκαταστάσεις τῇ φύσει ἐπικίνδυνοι εἴησαν· νῦν δὲ τῇ ταύτης τῆς χώρας ἀρχῇ πάλιν ἀτομικᾶς ἐγκαταστάσεις οἰκοδομεῖν δοκεῖ, λέγουσι γὰρ οἱ ἐν τέλει ὅτι ἡ ἀτομικὴ ἐνεργεία μόνη τοσαύτην ἐνεργείαν τῇ χώρᾳ ἐργάζεσθαι δύναται ὅσης ἡ χώρα δεῖται καὶ ὅτι αὕτη ἡ ἐνεργεία καθαρά μὲν ἐστιν, τῆς δὲ φύσεως φείδεται.

**Ξενοφόβη ἐπανάστασις ἐν τῷ Ἰωαννησβούργῳ**

Ἐν τῷ Ἰωαννησβούργῳ εἴκοσι καὶ δύο ἄνθρωποι ἀπέθανον ἅτε ξενοφόβου ἐπαναστάσεως γενομένης· πολλοὶ δὲ νεανίαι μάχαιράς τε καὶ ῥόπαλα ἔχοντες τοῖς ξένοις ἐκεῖ οἰκοῦσιν ἐπέθοντο· οἱ δὲ πολλοὶ τούτων τῶν ξένων ἐκ τῆς Ζιμβαούης (ἀπὸ τοῦ Μουγάβης ἀποφεύγοντες) τε καὶ τῆς Μοζαμβίκης καὶ τοῦ Μαλάουι πάλαι ἀφίκοντο· οἱ μὲν φύλακες τοὺς νεανίας παύειν ἐπείρωντο, ὅμως δὲ οὕτως βιαίως οἱ νεανίαι προσεφέροντο ὥστε οὐ δυνατὸν ἦν αὐτοὺς παύειν· λέγουσι δὲ οἱ ἐπιτιθέμενοι ὅτι οὗτοι οἱ ξένοι αἴτιοί εἰσι πολλῶν κακουργιῶν.

## The Catalan Pau Gasol will be in the NBA final / According to USA government, Al Qaeda is almost defeated / Monarchy in Nepal is over

(30-05-08)

**Ὁ Καταλανὸς Παῦλος Γασῶλ ἐν τῷ τῆς NBA τελικῷ ἔσται**

Ὁ Παῦλος Γασῶλ πρῶτος Ἰσπανικὸς ἀγωνιστὴς καλαθοσφαιρίσεως ὃς ἐν τῷ τῆς NBA τελικῷ ἔσται· οὗτος ὁ ἀγωνιστής, ἐν τῷ Ἁγίῳ Βοῖ (δήμῳ τῆς Βαρκελόνης) γεγονώς, πρῶτον μὲν ἐν τῇ Βαρκελόνῃ ἠγωνίσατο, ἔπειτα δὲ εἰς τὰς ΗΑΠ ἀπελθὼν ἐν τῇ πόλει Μέμφις πέντε ἔτη ἔμενεν ἕως ἡ ἐνδοξοτάτη ἑταιρεία τῶν Λάκερς (ἐν τοῖς Ἀγγέλοις) αὐτὸν ἐμισθώσατο· νῦν δέ, τοὺς τοῦ Ἁγίου Ἀντονίου Σποῦρς νικήσας, ὁ Γασῶλ τὸν καιρὸν ἔχει τοῦ τὴν ὑψηλοτάτην νίκην φέρεσθαι.

Γελοῖόν τι εἰδέναι βούλει; ἡ τῆς Σίνης ἀρχὴ τὴν NBA ἐκ τοῦ τηλεοράσεως ἀπαγορεύει, λέγουσι γὰρ ὅτι "χαριεστέρα ἐστίν".

**Κατὰ τὴν Ἀμερικανὴν ἀρχὴν ἡ Αλ Καΐδα μόνον οὐ ἔσσωται**

Ὁ Μιχαὴλ Αΐδην, ὃς τὸν κατὰ τῶν τρομοκρατῶν πόλεμον ἄρχει, εἶπε ὅτι οὐκέτι τοσοῦτοι ἰσλαμικοὶ τῇ Αλ Καΐδα βοηθοῖεν ὅσοι τὸ πρίν· διαβεβαιοῦται δὲ ὁ Μ. Α. ὅτι αὕτη ἡ τρομοκρατικὴ ἑταιρεία ἐν μὲν τῇ Σαουδὶ Ἀραβίᾳ καὶ τῷ Ἰρὰκ ἤδη ἔσσωται, ἐν δὲ πόλλαις ἄλλαις χώραις οὐκέτι ἐπιτίθεται ἀλλὰ μόνον ἀμύνεται· περὶ δὲ τοῦ Βὶν Λάδην εἶπε ὁ Μ. Α. ὅτι οἰκοίη οὗτος ἐν τῷ ὅρῳ μεταξὺ τοῦ Ἀφγανιστὰν καὶ τοῦ Πακιστάν.

**Ἡ τοῦ Νεπὰλ μοναρχία τελευτᾷ**

Ἡ τοῦ Νεπὰλ βουλὴ τὴν δημοκρατίαν ἀντὶ τῆς μοναρχίας ψηφίζεται· ἐν δὲ ταις ἀρχαιρεσίαις τῶν μαοιστῶν νικησάντων, δεῖ νῦν τὸν μὲν βασιλέα τὰ βασίλεια καταλιπεῖν, τοῦτο γὰρ τὸ οἴκημα μουσεῖον γενήσεται, τὴν δὲ νέαν βουλὴν νέαν πολιτείαν γράφειν. ἡ μαοιστὴ ἑταιρεία ταῖς ἄλλαις ἑταιρείαις διαλέγεται νῦν ἵνα νέαν ἀρχὴν αἱρήσωνται· ὅμως δὲ πάντες ἐρωτῶσι πότερον καταθήσουσιν οἱ μαοισταὶ κομμουνιστικὴν ἀρχὴν ἤ οὔ.

## Obama and Clinton meet in Washington / Hamas threatens with breaking border with Egypt / Museum for ABBA in Stockholm

(07-06-08)

**Ὅ τε Ὀβάμα καὶ ἡ Κλίντων ἐν τῷ Οὐασιγκτόνι συνέρχονται**

Ὅ τε Ὀβάμα καὶ ἡ Κλίντων, οὐκέτι ἀλληλοῖς μαχόμενοι, ἐν τῇ τῶν ΗΑΠ πρωτευούσῃ πόλει συνῆλθον ἵνα περὶ τῶν ἀρχαιρεσιῶν διαλέγοιντο· πρῶτον μὲν περὶ τῆς ἐν τῇ δημοκρατικῇ ἑταιρείᾳ ἀρχῆς ἅμιλλαν ἐποιοῦντο, νῦν δέ, τῆς νίκης ἐν τοῖς τοῦ Ὀβάμα γόνασι κειμένης, οἱ δύο τὸ πρότερον ἀντίπαλοι συμμαχίαν ποιεῖσθαι ἐν νῷ ἔχουσιν ἵνα τὸν ΜκΚᾶιν, τὸν ῥεσπουβλικανὸν εἰς τὴν τῆς χώρας ἀρχὴν παραγγέλλοντα, νικῶσιν. ἐὰν ὁ Ὀβάμα νικᾷ, πρῶτος ἀφροαμερικανὸς τῶν ΗΑΠ πρόεδρος γενήσεται. ἐν δὲ τῇ συλλογῇ ὁ Ὀβάμα πολλὰ καὶ καλὰ ἔλεγε περὶ τῶν ὑπὸ τῆς Κλιντόνος πεποιημένων, ἄλλως τε καὶ περὶ τῆς δημοσίας ὑγιείας.

**Τὸ Ἁμᾶς τὸν παρὰ τῇ Αἰγύπτῳ ὅρον καταβάλλειν βούλεται**

Ὁ φερέφωνος ὁ τῆς ἰσλαμικῆς ἑταιρείας Ἁμᾶς ἠπείλησε τὸν μεταξὺ τῆς Γάζης καὶ τῆς Αἰγυπτίου ὅρον καταβαλεῖν ἐὰν ἡ τῆς Ἰσραῆλ ἀρχὴ τὸν ὅρον τὸν μεταξὺ τῆς Γάζης καὶ τοῦ Ἰσραῆλ μὴ ἀνοίξῃ. λέγει δὲ οὗτος ὁ φερέφωνος ὅτι τοῖς ἐν τῇ Γάζῃ οἰκοῦσιν οὐκ ἔξεστιν ἐκ τῆς χώρας ἐξελθεῖν ἵνα τὰ ἐπιτήδεια δέξωνται· ἤδη τὸ πρότερον οἱ Παλαιστίνοι τὸ τεῖχος

κατέλαβον καὶ διὰ τὸν ὅρον εἰς τὴν Αἴγυπτον εἰσέβησαν, καίπερ τῶν Αἰγυπτίων φυλάκων τοῦτο κωλύειν πειρωμένων·

**Μουσεῖον περὶ τῆς ἑταιρείας ABBA ἐν τῇ Στοκχόλμῃ**

Ἡ μουσικαλικὴ ἑταιρεία ABBA, ἐν τῇ Σουεδίᾳ γενομένη, ἤδη μουσεῖον ἔχει· αὕτη ἡ ἑταιρεία τοσούτους δίσκους ἐπώλησε ὥστε μόνοι οἱ Βεάτλες καὶ ὁ Ἔλβις Πρέσλει πλείονας ἐπώλησαν· ἐν δὲ τῷ μουσείῳ ἔξεστι τὴν τῆς ἑταιρείας γένεσιν καὶ τὴν ἀριστείαν καὶ τὸ τέλος ἰδεῖν, ἔξεστι δὲ καὶ ἰδεῖν τὰς ἐσθῆτας τὰς τούτων τῶν ῥαψῳδῶν, ἄλλως τε καὶ ἐν δισκοθήκῃ τὴν μουσικὴν ἀκούεσθαι ὡσεὶ οἱ ἀκούοντες ἐν τῷ θεάτρῳ αὐτῷ εἴησαν, τὸ γὰρ μουσεῖον ἐκείνην τὴν αἴσθησιν πάλιν τοῖς θεαταῖς προφέρει. οἱ τοῦτο τὸ μουσεῖον οἰκοδομήσαντες ταύτην τὴν ἔννοιαν ἔδέξαντο τὸ τῶν Βεάτλων ἰδόντες.

## China and Taiwan sign agrement / Witches hunt in Kenya / Dolphins stranded in England

(14-06-08)

**Ἥ τε Σίνα καὶ τὸ Ταιουᾶν συνθήκας ποιοῦνται**

Ἥ τε Σίνα καὶ τὸ Ταιουᾶν συνθήκας ἐποιήσαντο καθ᾽ ἃς νῦν ὀκτωκαίδεκα ἀεροσκάφη καθ᾽ ἑβδομάδα ἐκ τῆς νήσου εἰς τὴν ἤπειρον (καὶ παραλλὰξ) πετήσονται· λέγουσι δὲ οἱ πανδοκεῖς ὅτι δεήσει οὐ μόνον πάντα τὰ πανδοκεῖα παντελῶς παρασκευάζειν ἀλλὰ καὶ ἄλλα οἰκοδομεῖν, ὁ γὰρ τῶν τουριστῶν ἄριθμος ἐξαίφνης πολλῷ τούτων τῶν συνθηκῶν ἕνεκα αὐξήσεται. τὸ μὲν πρότερον χαλεπὸν ἦν τοῖς ἐν τῇ Σίνῃ οἰκοῦσιν εἰς τὸ Ταιουᾶν προσελθεῖν, καίπερ ἐγγὺς ὄν, ἀρχαῖαι γὰρ αἰτίαι τοῦτο ἐκώλυον (ἡ γὰρ Σίνη τὸ Ταιουᾶν κτᾶσθαι βούλεται ὡς Σινικὴν χώραν ὄν), νῦν δέ, τῶν Ὀλυμπίων γενησομένων, πειρᾶται ἡ Σίνη φίλτερα πᾶσιν εἶναι φαίνεσθαι.

**Ἐν τῇ Κενίᾳ φαρμακίδας θηρεύουσιν**

Ὄχλος ἐν τῇ Κενίᾳ πεντεκαίδεκα γύναικας ἀπέκτεινεν, τὴν δὲ αἰτίαν ἀκούειν δεῖ, θαυμαστὴ γάρ ἐστιν· φαρμακίδες ἦσαν. ἐν δὲ ταύτῃ τῇ χώρᾳ οἱ ἄνθρωποι οὐ μόνον τάς τε φαρμακίδας καὶ τὰ φαντάσματα εἶναι νομίζουσιν, ἀλλὰ καὶ ἀποκτείνουσιν· τάδε, εἰκότως δή, μόνον ἔνιοι λέγουσιν, πάντες γὰρ ἴσασιν ὅτι ταῦτα τιμωριῶν ἕνεκα γίγνεται καὶ τὸ περὶ τῶν φαρμακίδων πρόφασις ἐστίν· ὅμως δὲ ὄχλος ἑκατὸν ἀνθρώπων μάχαιράς τε καὶ ἄλλα ὅπλα ἐχόντων ἐν τῇ κώμῃ Κεγόγι τοῖς οἰκοῦσι τῆς νυκτὸς ἐπιτιθέμενοι τὰς γυναικὰς ἀπέκτειναν. οἱ τῆς ἀρχῆς φερέφωνοι οὐδὲν περὶ τούτου εἶπον.

**Δελφῖνες ἐν τῇ Ἀγγλίᾳ ἐκπίπτουσιν**

Οὐδεὶς τὴν αἰτίαν οἶδεν, ἀλλὰ ἐν τῇ Ἀγγλίᾳ, ἐγγὺς τοῦ Κορνουάλλου, πολλοὶ δελφῖνες ἐξαίφνης ἐπὶ τὴν παράλιαν ἐκ τῆς θαλάττης ἐξέπεσον καὶ ἐκεῖ ἀπέθανον· λέγουσι δὲ οἱ ζῳόλογοι ὅτι πρῶτον μὲν ἔνιοι δελφῖνες ἐκεῖ ἔκειντο, ἔπειτα δὲ οὗτοι τοὺς ἄλλους καλοῦντες ἐφείλκυσαν· οἱ δὲ τοὺς δελφῖνας εὑρόντες πολλοὺς μὲν εἰς τὴν θάλατταν πάλιν εἰσείλκυσαν, ὅμως δὲ ἓξ καὶ εἴκοσι ἀπέθανον. οἱ ἰατροὶ οἱ τοὺς δελφῖνας ἐξετάσαντες λέγουσιν ὅτι οὗτοι οὐκ ἐνόσουν.

## The Argo sails again / China frees 1,000 Tibetans / Israel rehearses attack against China

(22-06-08)

**Ἡ Ἀργὼ πάλιν πλεῖ**

Ἔνιοι Ἕλληνες ναῦν πεποιήκασιν, ὅμως δὲ αὕτη ἡ ναῦς, καίπερ νέα οὖσα, ξυλινή ἐστιν, οἱ γὰρ αὐτὴν οἰκοδομήσαντες ναῦν πεποιήκασι τῇ Ἀργοῖ ὁμοίαν, τῇ νηὶ ἐν ᾗ ὅ τε Ἰάσων καὶ οἱ Ἀργοναύται πρὸς τὴν Κολχίδα πάλαι ἀπέπλευσαν τὸ χρυσοῦν κώδιον ζητοῦντες. Πρῶτον μὲν οὗτοι οἱ νέοι Ἀργοναῦται τὸν αὐτὸν πλοῦν ποιεῖσθαι ἐν νῷ εἶχον ᾗ οἱ ἀρχαῖοι Ἀργοναῦται, ὅμως δὲ πρὸς τὴν Βενετίαν προσπλεύσονται, ἡ γὰρ Τουρκικὴ ἀρχὴ τοῖς Ἕλλησι ἐξουσίαν οὐκ ἔδωκεν εἰς τὴν τῆς Τουρκίας θάλατταν εἰσπλεῖν· πάντες δὴ ἴσμεν ὅτι ἡ Ἑλλὰς καὶ ἡ Τουρκία περὶ τῆς ἐν τῷ Αἰγαίῳ θαλασσοκρατίας ἤδη πάλαι ἅμιλλαν ποιοῦνται. οἱ πεντήκοντα νεανίαι οἱ ἐν τῇ νέᾳ Ἀργοῖ ἐρέττοντες πᾶν ἔτος ἐμελέτησαν.

**Ἡ Σίνα χιλίους Τιβετάνους ἐλευθεροῖ**

Ἤδη τὸν τρῖτον μῆνα οἱ ἐν τῷ Τίβετ οἰκοῦντες ἐπὶ τὴν Σινικὴν ἀρχὴν ἐπανέστησαν ἐλευθερίαν τῷ Τίβετ ἀπαιτοῦντες· ἡ δὲ Σινικὴ ἀρχή, τότε πολλοὺς συλλαβόντες καὶ εἰς τὸ δεσμωτήριον εἰσβαλόντες, τούτων νῦν χιλίους ἐλευθέρωσεν, ἡ γὰρ ὀλυμπικὴ λαμπὰς εἰς τὸ Τίβετ ἀφίκετο καὶ πειρᾷ ἡ Σινικὴ ἀρχὴ φιλόφρων δοκεῖν· τῆς δὲ λαμπάδος ἀφικομένης, πλείονες ἢ ἑκατὸν πολῖται λαμπαδοφόροι ἐγένοντο· λέγουσι δὲ οἱ τῆς Σινικῆς ἀρχῆς φερέφωνοι ὅτι τούτων τὸ μὲν ἥμισυ Σινικοὶ ἦσαν, τὸ δὲ ἥμισυ Τιβετάνοι.

**Τὸ Ἰσραῆλ ἐπιβολὴν ἐπὶ τὸ Ἰρᾶν προσποιεῖται**

Οἱ Ἰσραηλῖνοι στρατιῶται προσεποιήσαντο πόλεμον ποιεῖσθαι ἐν τῇ ἔσω θαλάττῃ ὡσεὶ ἐπὶ τὸ Ἰρᾶν ἐπιθεῖντο· τὸ μὲν Ἰρᾶν ἀτομικὴν ἐνεργείαν κτᾶσθαι πειρᾷ ἵνα ἀτομικὰ πύραυλα ἔχειν δυνῆται, τὸ δὲ Ἰσραῆλ, τοῦτο φοβούμενον, κωλύειν πειρᾷ· λέγουσι δὴ οἱ ξένοι ἐπίσκοποι ὅτι ὁ τούτων τῶν ἀσκεσέων σκοπὸς τὰς ἀτομικὰς τοῦ Ἰρᾶν ἐγκαταστάσεις ἐστίν· κατὰ τὸ ἐοικὸς εἶπε ὁ αἰατολὰς Χατάμι ὅτι τὸ Ἰρᾶν τῇ βίᾳ χρήσεται ἐπὶ τούτους οἵτινες καὶ τῇ βίᾳ χρῆσθαι βούλωνται ἄν· ὅμως δὲ λέγουσιν οἱ τῆς Ἰσραηλινῆς ἀρχῆς φερέφωνοι ὅτι πολλάκις ταύτας τὰς ἀσκέσεις ποιοῦνται, δεῖ γὰρ αὐτοὺς τὰ πολεμικὰ ἑτοῖμα ἔχειν ἅτε πολεμίων πανταχοῦ ἐπιθέσθαι πειρωμένων.